


editio princeps

E. l. V. F. Büchner


THEOPHYLACTI, ARCHIEPISCOPI BVLGARIÆ, Epiſtolæ.

IOANNES MEVRSIVS
Nunc primùm è tenebris
erutas edidit.



LVGDVNI BATAVORVM,
Ex Officinâ GODEFRIDI BASSON.
Anno cIↄ. Iↄ. c. XVII.



BIBLIOTH. AMSTELAED.



Viro Nob. & Ampl.

GEORGIO MICHAELI LINGELSHEMIO, SERENISSIMI PRINCIPIS, ELECTORIS Palatini, Consiliario interiori,


IOANNES MEVRSIVS S.D.



VOTIESCVNque apud animum meũ reputo, quod ſæpiſſimè ſanè facio, Vir Nob. & Ampl. humanitatem illam tuam tam eximiam, cum Virtute, Prudentia, ac Doctrinâ non minore conjunctam, toties ferè tacitè mecum erubeſco. Quippe adeò me ingra-

tum cogitare tunc incipio, qui non uno beneficio abs te obstrictus nihil dum rependerim tibi. Nam ut taceam, quænam mihi benevolentiæ signa dederis, cùm ante annos quatuordecim à Serenissimo Principe tuo, FRIDERICO IV. ad Illustrissimum MAVRITIVM NASSOVIVM legatus venisses; illud certè nullis exprimere verbis possum, quanto affectu me sis complexus ante annos hosce decem, cùm Heidelbergæ vestræ agerem, præfectus studijs filiorum viri nostrâ ætate maximi, neque ullo veterum minoris, IOANNIS OLDENBARNEVELDII, Reip. hujus Nestoris, cujus nomen boni, & Patriæ amantes, cives summo semper cum honore commemorabunt. Nempe, simul advenissem, à tuo illo, quem dixi, Principe statim mihi impetrasti, ut ad Bibliothecam ejus locupletissimam aditus mihi concederetur. neque hoc tantùm, sed & vt librorum omnium, quotquot illic asservantur, editorum ineditorumve, usus pro arbitrio esset; & describere etiam li-

ceret, ſi quos vellem. Ac deſcripſi ſanè non paucos, quorum partem publici jam juris feci; & facturus ſum item alios, volente Deo. Itaque pro hoc beneficio, quod ego longè maximum duco, cùm, quod debeo, ſoluere non poſſim; ut ſaltem nomen profiteri me ingenuè voluiſſe Poſteritas ſciat, neque omninò ingratus vivam, accipe nunc THEOPHYLACTI has Epiſtolas, meâ operâ in lucem editas; eaſque patere animi grati obſides eſſe, tantiſper dum plus ſoluere liceat. Vale Vir Nob. & Ampl. ac benevolentiam iſtam tuam prolixiſsimam porrò mihi conſervare ne graveris. Lugduni Batavorum III. Kal. Majas. CIↃ. IↃ. C. XVII.




LECTOR BENIGNE.

DEDI pridem Tres-viros illos in Canticum Canticorum. Nunc Theophylacti has Epistolas accipe, quas sum nactus beneficio Andreæ Schotti, quo viro ad Remp. literariam nostram adjuvandam nemo hodie pronior vivit. Illi igitur gratiam habe, quam meretur, ac me ama. Vale, &

ÆTERNITATEM COGITA.

SYLLA-



SYLLABVS

Eorum ad quos hæ Epiſtolæ ſcriptæ.

Michaëli,

FINIS.

ΘΕΩ.


ΘΕΟΦΥΛΑΚΤΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΒΟΥΛΓΑΡΙΑΣ,

Ἐπιϛολαί.

Α ΘΕΟ-



ΘΕΟΦΥΛΑΚΤΟΥ,

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΒΟΥΛΓΑΡΙΑΣ,

Ἐπιστολαί.

---

* * * *

Ἐπιστολὴ α.



Ἐγὼ δὲ καὶ χάριν ὁμολογῶ τῷ διαβάλλοντί με, πανσέβαστέ μου ἀντιλήπτορ, ὅτι μοι τοῦ δέξασθαι τῆς σῆς μεγαλειότητος γράμμα γέγονε πρόξενος. καὶ τοῦτο ἦν ἄρα τὸ τῆς παροιμίας ἐκεῖνο, ὡς ἔστι τι καὶ χολῆς ὄφελος. ὡς ἔγωγε τὸ γράμμα ἐπὶ χεῖρας λαβὼν τὸ τοῦ Δανιὴλ εἶπον ἐν τῷ λάκκῳ τούτῳ. καὶ τοῖς οὐ νηστεύουσι λέγουσιν. ἐμνήσθη μου γὰρ ὁ θεός. οὕτως θείου δώρου τυχεῖν ἐνόμισα. οὐ ταύτῃ δὲ μόνον εὐφροσύνης ἐνεδύθην ἱμάτιον, ὅτι μοι προσελάλησας, ἀλλ' ὅτι καὶ ἀντιπροσλαλῆσαι ἐξουσίαν ἔδωκας, καί μοι τὸ στόμα ἀνέῳξας, οἷόν τινι δεσμῷ πρὶν τῷ ἀπαρρησιάστῳ καὶ κλειόμενον καὶ φθεγγόμενον. ἀλλὰ γὰρ ἐγὼ τοῖς πα-

τοῦ δημοσίου χλευάζουσιν ἐμποδών. ἐγώ τι κοινὸν ἔχειν πρὸς τὸν δῆμον δέχομαι, ὅς γε οὕτως αὐτὸν πέφρικα τὸν Βριάρεων, ὥστε καὶ ἄστρα σημαίνεσθαι.

Μάρτυς γὰρ ἐξείης ἐς αὔτιος, ὅστε καὶ οὐχί. Καὶ ὅπερ ἀπαγορεύει τῷ θεῷ Ἀβραὰμ ἐνιαχοῦ, τῷ ἀσεβεῖ τὸν δίκαιον συναπόλλυσιν, ἐπειδὰν τύχῃ τῶν πραττόντων μὴ φαυλιζομένων τῷ τῆς διακρίσεως πνεύματι. εἰ δὲ καὶ τοῖς ἄλλοις ἦν ἐμποδών, οὐχ οὕτω Μαργίτης εἰμί, ὥστε τοῖς ἴσοις ἀντιφέρεσθαι. οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκοῦργος δὴν ἦν. καὶ τὰ ἑξῆς τοῦ ἔπους. οἱ νεώτεροι συμφρέτωσαν. ἀλλ' ἔοικε καὶ τοῦτο τοῦ παρελθόντος εἶναι χειμῶνος, καθ' ὃν οἱ τῆς διαβολῆς μοι ἐπερρύησαν ῥύακες. ἔστι μέντοι κύριος ἐν ἡμῖν. καὶ οὐ καταποντίσει ἡμᾶς τὸ ὕδωρ τὸ ἀνυπόστακτον, ἀλλ' ἀβλαβὴς ἡ ψυχὴ ἡμῶν τὸν χείμαρρον διελεύσεται, καὶ νιψόμεθα μᾶλλον τῷ ὕδατι τούτῳ καὶ πλυνθησόμεθα, καθαροὶ φανέντες, ἐξ ὧν ῥυπανθῆναι ἠλπίσθημεν. τά τε γὰρ ἄλλα καὶ ὁ συναδελφός μου ὁ δεῖνα ἀπαγγελεῖ τὴν ἐμὴν περὶ τὰ τῆς λίμνης δίκαια κακεντρέχειαν, καὶ ὅπως ἐγὼ μέγας τις ἐνταῦθα καὶ πολὺς τὴν ἰσχύν, καὶ φέρων τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως. ὃς πᾶσιν εἰς ὕβριν καὶ περιφρόνησιν ἔκκειμαι, καὶ ἐκωμῳδήθην, καὶ ἐτραγῳδήθην, καὶ ἐσίγησα, ἔξω παντὸς ἀγαθοῦ παρακαλοῦντος γινόμενος. καὶ τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα. στόμα μὲν οὖν διαβάλλειν πεφυκὸς οὐδεὶς ἂν ἀποκλεῖσαι δύναιτο. οὐ δὲ σοῦ ὕψους ἂν εἴη τοὺς τῶν κολοιῶν κρωγμούς, ἢ τῶν ψαρῶν τοὺς ψιθυρισμοὺς ὑπερκειμένου μὴ δέχεσθαι, ἀλλὰ καὶ τοῦτο ἔχειν θεοῦ, τὸ πάντα ἐν κρίσει διηρευνημένα λέγειν τι καὶ ποιεῖν. ὅς γε πάντα εἰδὼς πρὶν γενέσεως, καταβάς, φησιν, ὄψομαι. αὐτός σε τηροίη ἐν

τῇ πρὸς αὐτὸν κατὰ τὸ δυνατὸν ὁμοιώσει, πάσης κακώσεως ἀνώτερον καὶ κακώσεως,

Τῷ μαΐστορι, κυρίῳ Ἰωάννῃ.
Ἐπιστ. β΄.

Οὔτ' ἐμοὶ σχολὴ μακρὰ καὶ ἡμᾶς τῶν ἐν οἷς ἤμην ὅτι συνῆν ἡμῖν, ἴσως ἂν εἶχε λύπην τὸ πρᾶγμα ὡς ἐξὸν γίνεσθαι, μὴ γινόμενον. ἐπεὶ δὲ ἀμφότερον μὴ ἐνδέχεται, ἀνόητον ὄντως, τὸ ζητεῖν τὰ ἀδύνατα. ἀλλὰ θελήσομεν θάτερον. λέγω δὴ τὸ ἐκείνου καταπλουμένου ἀπολαύειν αὐτὸν ἀνέσεως. ἀλλ' εἰ τοῦτο ψευδόμενόν ἐστι τὴν πρὸς ἐκεῖνον ἀγάπην. καὶ φιλαύτων μᾶλλον, ἢ φιλαδέλφων, καὶ τοσοῦτον ἐχόντων τῆς ἐντολῆς, ἢ τὸν πλησίον ὑπὲρ ἑαυτὸν ἀγαπᾶν διατάττεται. ὥστε μηδὲ τὸ τῆς νομικῆς ἀγάπης μέτρον πληροῦν, ἐν τῇ πρὸς ἡμᾶς αὐτοῦ ἰσότητι τοὺς πλησίον ἐπιμετρουμένου. καὶ ταῦτα τοῦ πυνθανομένου ὑπὲρ ἑαυτὸν ἡμᾶς ἀγαπήσαντος. καὶ τοῦτο δεικνύντος, οἷς αὐτὸς ἐνείχετο δαπανώμενος, ἵν' ἡμεῖς ἐν ῥαστώνῃ τὸν βίον διάγοιμεν. ἔπειτα πῶς οὐκ ἄτοπον περιέχεσθαι μὲν ἐκείνου ὅτι πρὸς ἡμᾶς εἶχε πίστιν, δι' ἣν καὶ πρὸς τὸν δεινὸν παρεβάλλετο, ἡμᾶς δὲ μὴ τῷ κοινῷ δεσπότῃ πιστεύειν, καὶ καταθαρρεῖν τοῦ πρὸς τὴν λειπομένην ζωὴν ἡμῖν δρόμου, ὡς κουφοτέρου σὺν θεῷ ἐσομένου, καὶ οὐδὲν τραχὺ ἢ προσάντες ἕξοντος. ὁ αὐτός ἐστιν ἡμῶν κηδεμὼν, ὁ καὶ τότε δι' ἐκείνου κηδόμενος. ὁ αὐτός ἐστι, καὶ οὐκ ἠλλοίωται. αὐτὸς ποιμανεῖ ἡμᾶς, καὶ οὐδὲν ἡμᾶς ὑστερήσει. μὴ, Μωσέως ἀναπαυσαμένου Ἰσραὴλ ἀνεπιτρόπευτος ἔμεινεν, οὐχ ἵνα ἔσχον ὁδηγοῦντα καὶ στρατηγὸν τὸν τύπον τοῦ μείζονος, καὶ τῶν μειζόνων διάκονον, καὶ τῆς εἰς τὴν ἐπιθυ-

μὴ τὴν γῆν ἐπαγγελίας ἐκπληρωτὴν, ἧς Μωσῆς οὐκ ἠξίωτο; μὴ ἀναρπασθέντος Ἡλιοῦ παραδέξεως οὐκ Ἐλισσαῖος ἀνεφάνη προφήτης ἐν διπλῷ πνεύματι; πιστεύω τοῦ λοιποῦ βέλτιον ἢ πρόσθεν ἡμῖν ἕξειν τὰ πράγματα, ἵνα μάθωμεν ὡς οὐκ ἂν ἀνθρωπίνοις ἐννοήμασι καὶ σπουδάσμασιν, ἀλλὰ θείᾳ χρηστότητι, καὶ ῥήμασι δυνάμεως, ἀνεπινοήτως διεξαγόμεθα. ταῦτα καὶ πλείω τούτων λογιζόμενόν σε, εἰκὸς πάσης ὑπερκαθῆσθαι μικροψυχίας, καὶ λογισμῶν χθαμαλέστητος. ἃ καί μοι κατὰ νοῦν πεσόντα τῆς ἐπὶ τῷ συμβάντι καταπλώσεως ἀνενεγκεῖν δέδωκεν. οὕτως ἔχε, τιμιώτατε ἀδελφὲ, καὶ μή σου τὸν πύργον τῆς διανοίας κινείτωσαν τῶν νηπίων τὰ βέλη τῶν ἑαυτοῦ παιζόντων, ἐν οἷς καθ' ἡμῶν σπουδάζουσιν. ἐπὶ τῆς πέτρας γὰρ αὐτὸν ἔφθης θεμελιώσας, ὡς φρόνιμος. ἡ δὲ πέτρα ἐστὶ Χριστός. τὰ μὲν οὖν πνεύματα πνεύσουσι, καὶ οἱ ποταμοὶ ἐπιρρεύσουσιν ἐκ τῆς ἄνωθεν βροχῆς καὶ παραχωρήσεως. ἐκεῖνος δέ σοι μενέτω καὶ βέβαιος καὶ ἀσάλευτος, ὥστε σε λέγειν ἐν Χριστῷ καυχώμενον. χείμαρρον διῆλθεν ἡ ψυχὴ ἡμῶν. ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον; ὁ δὲ πάσης παρακλήσεως θεὸς αὐτός σε παρακαλέσαι τὸ τελεώτερον διὰ τοῦ παρακλήτου καὶ ὁμοδυνάμου πνεύματος.

Τῷ πατριάρχῃ, κυρίῳ Νικολάῳ.
Ἐπιστ. γʹ.

ΟΥ̓ μᾶλλον δίδωμι χάριν ἢ λαμβάνω διὰ τῶν πρὸς σε τούτων γραμμάτων, ἅγιε δέσποτα. ἠτήσατο μὲν γὰρ παρ' ἡμῶν ταῦτα πρὸς τὴν σὴν ἁγιωσύνην ὁ τὰ πάντα, τιμιώτατε ἀδελφὲ, ὁ Πελαγόνιος ἐπίσκοπος.

τος, οἷόν τινας ξεναγωγοὺς ἐπὶ τὴν τῶν σῶν ἀρετῶν ἑστίαν ἐλπισθέντος αὐτοῦ ἡγήσασθαι, καὶ τοῖς πρὸς τὴν σὴν ὁμιλίαν θερμοῖς ἱμέροις αὐτοῦ μετρίαν δώσειν ἀνάψυξιν. καὶ μὴ λαβὼν, ἔχει χάριν, καὶ θαυμαστὸν οἷον γέγηθε. λέληθε δὲ οὐδεὶς μᾶλλον αὐτὸς τὰ ἡμῶν εὐκταιότατα. τί γὰρ ἐμοὶ μεῖζον τοῦ πρός σε τοῖς τῶν γραμμάτων πτεροῖς ἀναστείεσθαι, κἂν μὴ τοσοῦτον ἐφικνοῦμαι ὅσον καὶ βούλομαι. αὐτὸς μὲν οὖν μακάριος, ὃς ἐπὶ τὸ σὸν ἀναβὰς ὄρος ἐπίδῃ, καὶ πρόσωπον πρὸς πρόσωπον τὰ θεῖα ἐν σοὶ κάλλη ὄψεται, καὶ φωνῶν ἀκούσῃ μυστικωτέρων, καὶ ὧν οἱ κτηνώδεις καὶ θηριώδεις οὐκ ἄξιοι, κάτω βοσκόμενοι, καὶ περιπλανώμενοι. ἡμῖν δὲ ἀπόχρη τὸ δι᾽ ἐσόπτρου βλέπειν, καὶ ἐν αἰνίγματι, καὶ ἀκούειν κατὰ τὸ ἔσχατον γοῦν ἀπήχημα. τοῦτο γὰρ ἐμοὶ ἡ διὰ γραμμάτων σὴ πρὸς ἡμᾶς συγκατάβασις. οἶσθα οὖν ὃ ποιήσεις, ὡς ἂν μὴ τὰ πάντα ὦμεν σοι ἀτυχεῖς, ἀλλ᾽ ἔχωμεν καὶ αὐτοὶ γυμνότερόν τι παραπολαύειν τοῦ ἐν σοὶ τοῦ πνεύματος χάριτος. εὐχὰς δίδου τὰς ἐθάδας τοῦ δυσωπεῖν τὸν θεὸν, αἳ τοσοῦτον δέουσιν ὁρατῷ τινὶ διείργεσθαι διαστήματι ἢ διατειχίσματι, πρὸς τὸ μὴ οὐχὶ παρεῖναι τοῖς αὐτὸν χρῄζουσιν, ὥστε καὶ τὸ στερρὸν ἡμῶν διατείχισμα τῆς ἁμαρτίας μόναι καθαιρεῖν δύνανται. τούτων ἡμῖν ἐπιδαψιλεύου, καὶ τὰ κακὰ οὐ φοβηθησόμεθα, εἴτε τὰ κακύνοντα εἴτε τὰ κακοῦντα, ἅγιε πάτερ καὶ δέσποτα.

Τῷ Ταρωνίτῃ προέδρῳ, κυρίῳ Γρηγορίῳ.
Ἐπιστ. ιδ´.

Ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι; ἐσιώπησα μὲν, ἔτι γοῦν τῶν πονηρῶν ἡμερῶν τούτων κρατῆρος εἰς

κόρον

κόρον σπάσας, καὶ χολῆς μεθυσθεὶς, ὥς φησιν ὁ Ἱερεμίας, ἐκείμην κακούμενος, καὶ πρὸς πᾶν ἀναισθητῶν καὶ λάλημα καὶ προσφώνημα. νῦν δὲ μετρίως τῷ χρόνῳ διαπνευσθείσης τῆς ὑπνοποιοῦ ἀναθυμιάσεως, καὶ τοῦ κάρου διαλυθέντος τῇ τοῦ θείου λόγου θερμότητι, τὴν σιωπὴν ἀποτίθεμαι. ἄλλως τε καὶ τοιούτῳ διακόνῳ τοῦ πρὸς σε γράμματος χρώμενος. ἀλλὰ πῶς ἄν μοι ἔχοις ὁ καὶ τὴν ψυχὴν ἀήττητος, καὶ τὴν ἀνδρείαν ἀσύγκριτος. καὶ τῇ μὲν δεικνύων σώματος εὐκρασίαν. τῇ δὲ, ψυχικῶν ἁρμονίαν δυνάμεων. ὁ νῦν μὲν ἔχων οὐδέν τι χειρῶν δεόμενον. χεῖρας δὲ κατορθούσας, ἃ καὶ νοῦς αὖ ἀπελπίσειεν. ὁ μόνης τῆς ἀνθρωπίνης ὑπεραπολογησάμενος φύσεως, ὡς οὐ γεγηρακυίας, οὐδὲ σαπρωθείσης πρὸς ἀνδρῶν φύσιν. ἀλλ᾽ ἔτι ζούσης τὴν ἀκμὴν δυνάμεως, καὶ εἰρήνης καιροῖς ὁμοίως καὶ πολέμοις ἀρκῶν, ὅ μήτε τὸ πραγματικὸν μήτε τὸ μαχητικὸν ἐφικτὸν ἔχων λόγῳ καὶ θαύματι. ἢ ἵνα ἀληθέστερον εἴπω, ἑκάτερον δεικνύων ἑκατέρων νικώμενον. ποῦ τ᾽ αὖ μοι εἴης ὁ πανταχοῦ περιποθούμενος. ἡ παντὸς ἀγαθοῦ δεξαμενὴ ὁ πανδέξιος. ἄρα καθιστᾷς ἔθνη, καὶ γνώμας καταρτύεις ἀνδρῶν, καὶ Προμηθεὺς γίνῃ, πλάττων ἀνθρώπους πλάσιν ἡμερινὴν καὶ φιλάνθρωπον. ἢ λόχους ὑπερκαθίζεις, καὶ λοχαγοὺς ἐφιστᾷς, καὶ φάλαγγας βαθύνεις, καὶ σημαίνεις καιροὺς ἐπελεύσεων. καὶ τοῖς βαρβάροις ἐκφαίνεις μὴ θανὸν ἐν σοὶ τὸ πάλαι Ῥωμαίων φρόνημα. ἔχοις μὲν οὖν ἀξίως αὐτοῦ, καὶ πράττοις τῶν ἡμετέρων ἐλπίδων καὶ εὐχῶν ἄμεινον. εἰ δὲ καὶ γράμμασι δηλώσαις, χρυσοῦν ὄντως ἡμῖν ἐπισκευάζεις τὸν ὄροφον. καὶ τηροῖο ὑπὸ κυρίου πάσης κακώσεως ἀνώτερος καὶ κακώσεως.

Τῷ

Τῷ χαρτοφύλακι, κυρίῳ Νικηφόρῳ.

Ἐπισ. ι.

ΟΥ'χ οὕτως ἀφιλόκαλος, ἅγιε δέσποτα καὶ πάτερ, οὐδ' ἀπὸ δρυὸς, ἢ ἀπὸ πεύκης, ὁ σὸς Θεοφύλακτος, ὡς μὴ τῶν ἐν πνεύματι ᾠδικῶν χαρίτων ἐπηθῆναι τοῦ ἁγίου Γρηγορίου, καὶ πρὸ τούτων τῆς περιστελλούσης αὐτὸν σεμνότητος. ἀλλὰ καὶ ταῖς τοῦ ἀνδρὸς ἑάλω σειρῆσι. καὶ τὸ τοῦ ἤθους κατηρτυσμένον ἐθαύμασα, καὶ ἐπὶ τὰ ἐκτὸς διαβαῖνον, καὶ ἐπιπρέπον τῷ σχήματι. διὰ ταῦτα καὶ πρὸς οὐδὲν τῶν παρ' αὐτοῦ τέως αἰτημάτων ἀνένδοσα. καὶ πρόθυμος ἦν ὅλον ἐμαυτὸν ἐπιδιδόναι τοῖς ἐπὶ τούτοις θελήμασι. τί οὖν ἐστιν ὃ πέπονθα; καὶ σκόπει, εἰ μὴ προμηθέστερος μᾶλλον ἐγὼ, ἢ δειλότερος. οἶδεν ἡ ἁγιότης σου τηλίκῳ προσώπῳ ὑπόκειται ὁ Γρηγόριος, καὶ ὡς ἀναγκαίως τῆς αὐτοῦ πρὸς τὴν ἐκκλησιαστικὴν ὑπηρεσίαν δεξιότητος χρήζοντι, καὶ ὡς διακόνου ἐν ἱερῷ μέλει, καὶ ὡς κορυφαίου ἐν ψάλμασιν. ἓν μὲν οὖν τοῦτο πρῶτον κείσθω μοι λῆμμα· δεύτερον δὲ καὶ τοῦτο μάλιστα πάντων οἶδας, ὡς τοὺς ἀπὸ μοναστηρίων ἢ ἐκκλησιῶν ἑτέρων μεθισταμένους ἄνευ τῆς τῶν προεστώτων γνώμης, οὐκ ἀκίνδυνον ὑποδέχεσθαι. πῶς τοίνυν κατεῖχον ἂν αὐτὸς παρὰ τῇ ἐμῇ ἐκκλησίᾳ τὸν θαυμαζόμενόν μοι τοῦτον καὶ ἀγαπώμενον ἄνθρωπον, μήτε παρὰ τοῦ τὴν μονὴν κατέχοντος προσώπου λύσιν δεξάμενον, μήτε τοῦ ἡγουμένου γοῦν γραφὴν ἔχοντος, περιποιουμένην ἡμῖν τὸ ἄπραγμον. οὐχ οἱ, εἴπερ τις ἀνθρώπων, ὡς οἱ τὰ πάντα συγχέοντες οἱ τῶν ἐπισκόπων κατάσκοποι, τέως μὲν τοὺς κανόνας περιορῶσιν ἐν γωνίᾳ κειμένους, αὐχμοῦ καὶ εὐρῶτος κατάπλεως ἢ ἐν μέσῳ διερριμμένα καταπατοῦσιν ὑπερηφάνως ἐπειδὰν δὲ

B πρᾶξαι

πράξαι τὴν δέησιν τῶν ἐπισκοπικῶν, ἐνταῦθα λύσαντες τοῦτον, καὶ βοστρυχίσαντες, καὶ ἐκθηλύσαντες, ὡς τοῦ πνεύματος ὄντες γεννήματα, ἀντικαθιστῶσιν ἡμῖν, τὴν παράβασιν πικρῶς ἐλέγχοντες. διὰ ταῦτα μὲν οὖν οὐ κατέσχον τὸν ἄνδρα παρ' ἑαυτῷ. εἰσηγησαμένῳ δὲ αὐτῷ, ὡς ἄρα δέον εἴη καὶ παρὰ τῶν κρειττόνων ἀπόλυσιν λαβεῖν ἔγγραφον, καὶ παρὰ τοῦ ἡγουμένου τὴν οἷον ἀπολυτικὴν παράθεσιν. ἐπεὶ δὲ νῦν, ὡς ἔμαθον διὰ γραφῆς ἑαυτοῦ, παρὰ τῶν τὴν μονὴν ἀγόντων ἐγγράφως οὐκ ἀπολύεται, οὐκ οἶδα τί δράσω. ποθῶν μὲν, οὐδ' ὅσον ἂν εἰπεῖν ἔχοιμι, προσκληρῶσαι τοῦτον τῇ ἐπιστατουμένῃ παρ' ἡμῶν ἐκκλησίᾳ, δεδιὼς δὲ τὸν φθόνον, καὶ τὸ τῶν ἀνθρώπων κακόηθες, οἳ καὶ ἠρεμοῦντα θυμὸν τῶν κακῶν * * * δυναμένων ἀναρριπίσουσι. πλὴν εἰ καὶ τῇ σῇ ἁγιωσύνῃ ἱκανὸν εἶναι δοκεῖ καταπείσεως ἡμᾶς ἐξελέσθαι τὸ γράμμα ἐν ὑπογραφῇ τοῦ ἡγουμένου μόνου πρὸς ἡμᾶς ἐνεγκεῖν παραληφθέμενον αὐτὸν, ὡς εἰκὸς, ἐλθέτω τοῦτο συνεπαγόμενος, καὶ ἀσμένως ἡμῖν εἰσδεχθήσεται. εἰ δ' οὐδὲ τοῦτο συνορᾷς ἱκανὸν, ἀλλὰ δεῖ πάντως τῆς τῶν ὑπερεχόντων ἀφέσεως, ἀνιάσομαι μὲν, τοῦ τοιούτου στερούμενος, καὶ ὃ σπάνιον εὐνούχοις χρηστοήθοις καὶ ἀπλουστέροις, καὶ τοῦτο δὴ ταῖς ἄλλαις ἐπηρείαις ὡς ἐπιθήκην προσλογισάμενος, τῷ πάντα λυποῦντι προσενεγκεῖν δυναμένῳ καὶ τὴν τούτου λύσιν, ὡς εἰκὸς, ἀναθήσομαι. ὑφ' οὗ τηρηθείημεν τῶν τοῦ αἰῶνος τούτου σκανδάλων ὑπέρτεροι ταῖς σαῖς ἁγίαις εὐχαῖς.

Τῷ Καματηρῷ, κυρίῳ Γρηγορίῳ.

Ἐπισ. ϛ΄.

Βαβαὶ φαίης ἂν Ἀχελδόθεν ἡμῖν καὶ γλώσσης ἀρχιεπισκοπικῆς ἐπιστόλιον πάρεστι. καὶ μὴν οὔτι θαυμάζειν. ἢ πάνυ μέγα τὸ τοῦ νῦν ἐπιστεῖλαι αἴτιον. οὐ γὰρ ἂν ἠγνόησεν ὁ ἀρχιεπίσκοπος τῷ ἀνδρὶ, ὃν σμῆνος περιβομβεῖ βασιλικῶν πραγμάτων, καὶ τὰ παρ᾽ ἑτέρων γράμματα παρενόχλημα οὐχ ἧττον, ἢ τὸ αὐτὸ γράφειν ἑτέροις. πόθεν οὖν τὸ καινοφανὲς τόδε χρῆμα, καὶ ἡμῖν ἄκαιρον. πόθεν; ἐκ τῆς σῆς περὶ πᾶν ἀγαθὸν δεξιότητος. ἐπεὶ ἐπειδή σοι θεὸς τῷ περὶ βασιλεῖ μεγάλα δύνασθαι δέδωκεν, οὐκ ἐπαριστέρως χρᾷ τῷ θείῳ δωρήματι, ἀλλὰ φαίνῃ σεαυτὸν καὶ τοῦ μείζω δύνασθαι ἄξιον, οἷς τὸ τέως δοθὲν ἀξίως θεοῦ ᾠκονόμησας, καὶ τοῖς ἐγχειρισθεῖσι ταλάντοις τὸ σὸν δραστήριον ἐναπεδειξάμενος, δεικνὺς ὡς ἄρα καί σοι προσήκει τὸ ἴθι ἐπάνω δέκα πόλεων παρὰ τοῦ δικαίου δεσπότου καὶ διανομέως τοῖς ἀξίοις λεγόμενον. τὸ γὰρ ἐν τῇ προσούσῃ νῦν σοι δυνάμει ἄρχοντι δοῦναι τῷ καθ᾽ ἡμᾶς, τοῦτο μέν ἐστι τοσοῦτον τοῦ σιδηρέου γένους τῶν νῦν ἡμερῶν ἀπέχον τι, ὅσον ἐγγίζει τῷ παρ᾽ Ἡσιόδῳ χρυσέῳ. ὃς τὰ τῇ φύσει διεστηκότα παρ᾽ ἑαυτῷ καινῶς ἥνωσεν, ὄγκον ἤθους καὶ μετριότητα. τὸν μὲν, τοῖς πονηρευομένοις ἀποτηρῶν. τὴν δὲ, τοῖς χρηστοτέροις ἐκχέων ἡδεῖ τῷ χεύματι. καὶ τῷ μὲν, τὰ μέτρα τῶν ἀδίκων κολούων. τῇ δὲ, τῶν ἀγαθοὺς ὀξυνόντων πρὸς ἐνδηλοτέραν χρηστότητα. καὶ τὸ συντετριμμένον ἰώμενος, καὶ τὸ ἀπωσμένον ἀνακαλούμενος. δῆλος δὲ τὴν Ἀχελδὰ θήσων ἐξελεουμένην, ὅσον οὔπω ἐπίφθονον. τὸ δὲ τοιοῦτον ἡμῖν ἐπιστῆσαι τῶν ἁρμοστῶν, πῶς οὐ προσκλητικόν ἐστί σοι μείζονος ἐκ θεοῦ παρὰ βασιλεῖ

δυνάμεως. ἵνα μείζω καὶ πόλεις εὐεργετοῦνται καὶ ἔθνη διὰ τῆς σῆς τῶν ἀρχόντων ἐπιλογῆς, καὶ παρὰ τοῦ κρατοῦντος συστάσεως. τοῦτό μοι τὴν γλῶσσαν ἔλυσέ τε, καὶ μικρόν τι τὴν σὴν ἀκοὴν προσελκύσαι πρὸς τὴν ἡμετέραν λαλιὰν ἔπεισεν. οὐ γὰρ δεῖν ἔγνων τηλικοῦτον ἰδὼν ἀγαθὸν, καὶ οὕτω ξένον, ἐπιδημήσαν ἡμῖν διά σου, μὴ τῇ σῇ μεγαλεπιφανείᾳ δηλῶσαι τὴν τοῦ δοθέντος συναίσθησιν, μηδὲ λόγῳ γνωρίσαι, οἵου πράγματος τετυχήκαμεν. τά τε γὰρ ἄλλα, καὶ τὴν αὐτὸς αὐτοῦ κρίσιν ἀποδεξάμενος, καὶ οἷόν τι καλὸν φρόνημα πατὴρ ἡδέως κατασπασάμενος, ἔτι μᾶλλον πτερώσεις διὰ γραμμάτων πρὸς τὸν ἐφ' ἃ εἵλετο δρόμον. ὥστε τὸν καλὸν δειχθῆναι καλλίονα, καὶ τὸν Νιρέα ἤδη καὶ Ἀχιλλέα διαπλασθῆναι: εἰ δέ τι πλέον αἰδοῦς καὶ τοῦ Φοίνικος, ἢ τοῦ Νέστορος, ὁ Ἀχιλλεὺς οὗτος προσνέμων ὑπό σου νουθετοῖτο, ἐν οὐδενὶ μὲν ἐκεῖνος τὸν ἥρωα ψεύσαιτο. διὰ πάντων δὲ δείξεις αὐτὸς, ὡς οἱ νῦν ἡμῖν ἐγνωσμένοι πρός σε ἄκρατον γαρύετον Διὸς πρὸς ὄρνιθα θεῖον.

Τῷ Πακκουριάνῳ, κυρίῳ Γρηγορίῳ, τῷ γαμβρῷ τοῦ μεγάλου δρουγγαρίου.

Ἐπιστ. ζ.

Ἀρά σοι θρασὺς ἐγὼ καὶ περιττὸς τὴν παρρησίαν, πανσέβαστε. ὅτι οὔπω μήδ' ἰδὼν, μήδ' ὀφθεὶς, εὐθὺς νουθετητής σοι καθίσταμαι; ἢ θαυμαστὸς τῆς ἁπλότητος, ὅτι σε τοῖς συνήθεσι κοινωνῶ τοῦ ἐμοῦ πλούτου, καὶ τῶν ἐνόντων σοι μεταδίδωμι; ἐγὼ μὲν, οἶμαι, τὸ δεύτερον, εἰ δέ τις τὸ πρῶτον τίθεται, ἀλλ' οὗτός γε ἀνουθέτητος ὄντως, καὶ μηδὲν ἀγαθὸν ἀπολαύσας λόγου μηδέποτε. φημὶ τοίνυν ἐγὼ ἀνθρώπων ἐπιστασίαν σε δεδεγμένον νέον, καὶ τὴν καρδίαν

εὐτύ-

ἐντύπωτον, πάντοθεν χρῆναι συγκεκροτῆσθαι, καὶ πλείοσιν ὀφθαλμοῖς τὰ πάντα περιαθρεῖν, ἢ ὁ πανόπτης Ἄργος τὴν ἐμπιστευθεῖσαν ἐκείνῳ βοῦν. ὅτι ποτὲ ἐν τούτοις ὁ μῦθος βούλεται, ὡς ἂν μὴ λάθοι κακία τοὺς αὐτῆς χαρακτῆρας τῇ σῇ ψυχῇ ἐντυπώσασα. καὶ καθ' αὐτὴν μὲν γὰρ ἡ νεότης, χρῆμα πάντολμον, καὶ δραστήριον. ὅταν δὲ ἡ τῆς ἀρχῆς ἐξουσία παρῇ, λέγει μετὰ ξίφους, φασίν. ἀλλά σύ γε τὸν λόγον ἔχων μετὰ σαυτοῦ τὸν μέγαν, καὶ καταρτιστήν, ἕξεις ταῦτα πλείονος ὕλην εὐδοκιμήσεως. καὶ τὸ τῆς νεότητος θερμουργόν, τῷ τῆς ἐξουσίας ἀναρριπιζόμενον πνεύματι, διὰ τῶν πραγμάτων δραμεῖται, πυρσὸν αἴρων τοῖς πενίᾳ βαπτιζομένοις σωτήριον. καί σε μακάριον ἐγὼ τίθημι, ὅτι μήπω σχεδὸν μηδὲ παραγγείλας εἰς βίου θέατρον οὕτω τοι ῥᾳδίαν ἔσχες πρόφασιν τῆς πρὸς τὸν μέγαν βασιλέα καὶ βασιλεῦ τὴν παρρησίας, τὴν πρὸς τοὺς ἀρχομένους χρηστότητα. εὖ γὰρ ἴσω ἡ τῆς εὐγενείας μεγαλειότης, ὡς οὐδὲν οὕτως θεῷ τὸν ἄνθρωπον ἀνακίρνησιν, ὡς τὸ χρηστὸν ἦθος, καὶ φιλάνθρωπον. καὶ τὸ θαῦμα, ὅτι μηδὲν μέγα καὶ χαλεπὸν ἀπαιτούμεθα, ἀλλ' ἢ μόνον τὴν φύσιν ἐπιγινώσκειν, καὶ τὴν ὑπ' αὐτῆς ἀπαιτουμένην ἀπαιτηθῆναι συμπάθειαν. τοιοῦτός μοι γίνοιο, καὶ κηρύττοιο. καὶ τοῦτον ἀποθησαυρίσαις τὸν πλοῦτον μᾶλλον, ἢ μυριάδας ἄλλοι ταλάντων δακρυομένων καὶ πενθομένων. κἀντεῦθεν ἤδη προφαινόντων τὴν λῆσιν εἰς ἣν ἐν τῷ μέλλοντι τάξουσι. καὶ πᾶσι μὲν παρέχων σαυτὸν θεὸν τοῖς δεομένοις φιλανθρωπίας. μάλιστα καὶ τοῖς ἰδίᾳ θεῷ ἀνατεθειμένοις. οὕτω γὰρ μάλιστα δείξαις, ὡς ἐκεῖνον θεραπεύειν ἐσπούδακας. ἐπεὶ καί σε θεραπεύει μέν τις καὶ τῶν κοινωνῶν κηδόμενος. ἂν δέ τι πλέον τοῖς ἰδίᾳ καὶ οἰκειοτέροις ὑπηρετοῦσι χαρίζεται, μᾶλλον ἐκφαίνει

τὴν πρὸς σε συνδιάθεσιν. πλὴν λόγου τὸ πᾶν ἄκουε. ἐκκόψῃς τοῦ φθόνου σου ὀφθαλμούς. οὐ τὴν γλῶτταν ἀποστρέψῃς τοῦ μώμου, εἰ τοῦ νόμου τῶν νῦν ἡμερῶν φανείης παρήκοος, καί σε ὁ τῆς ἀγαθότητος καὶ ὁ δικαιοσύνης θεὸς τηροίη πάσης κακώσεως ἀνώτερον καὶ κακώσεως.

Τῷ Ὀψομάχῳ. Ἐπιστ. η.

ΤΙ τοῦτο καὶ ὁ καλὸς Ἰωάννης παρηνέχθη Λαιστρυγόσι προσπαλαίσων καὶ Κύκλωψιν. οὕτω γὰρ τὰ τῶν μακαριζομένων πράξεων τίθεμαι. ἀλλ' ὅπως μὴ φανείης ἐκεῖνος ὁ τοῦ Λαέρτου πολύμητις, καὶ τὸν λόγον ἔχοις τῆς κακίας ἀντίμαχον, πάντως Ἑρμῆς σοι τὸ μῶλυ διδοὺς ἤδη πάντα καλῶς ἐξηγήσατο. μὴ μέλε οὖν, ἀλλὰ χρῶ τῇ τούτου δυνάμει. καὶ ἐπανασωθήσῃ τοῖς οἰκείοις φρέναις ἐχέσῃ νῆι μετὰ τιμιωτέρου πλούτου τῆς πρὸς θεὸν παρρησίας. τὴν πρὸς σου ἐρχομένους ἀρετή σοι χαρίζεται. νῦν γὰρ νόμιζε δοκιμάζεσθαι οὐχ ἧττον, ἢ οἱ πρὸς τὰ Ὀλύμπια καταβαίνοντες. καὶ γένοιτό μοι τὸν ἐμὸν ἑταῖρον Ὀλυμπιονίκην ἀκοῦσαι. τάχα γὰρ ἄν σοι καὶ ἐπινικίους προσᾴσωμεν, οὐδὲν ἀτιμότερον τῶν Βακχυλίδων καὶ Σιμωνίδων, ἴσως καὶ πρὸς τὴν Βοιωτοῦ λύραν ἁρμοζομένους, πάντως δὲ λαμπροτέραν ἔχοντος τὴν ὑπόθεσιν, καὶ ἐπὶ σεμνοτέροις λεγομένους ὀκρίβασι.

Τῷ διδασκάλῳ, κυρίῳ Νικήτᾳ, τῷ τοῦ Σερρῶν. Ἐπιστ. θ.

ΚΑὶ ὁ τοῦ εὐαγγελίου τῆς ἀληθείας ἐξηγητής, εἰ ἄλλως διαψευδόμενος, ἢ ἄλλό τι. τὸ σὸν καὶ οὐ ψεῦδος

θησό-

θησόμεθα. οἰκονομίαν δηλαδὴ καταρτυθεῖσαν σοφώτερον, καὶ διὰ τῶν ἐπαίνων ὥσπερ χειρῶν τὸ παιδιῶδες ἡμῶν βαστάσασαν, κἀκ γῆς κυλιόμενον διὰ τὴν πρὸς τὰ πράγματα δυσαρέστησιν, καὶ τοῖς τοῦ ἀγαπῶντος στόματος ἱλαρωτέροις φιλήμασι, καὶ ταῖς τῶν ἐγκωμίων καταψήσεσι, κλαυθμυριζόμενον παύουσαν. ἐγὼ μὲν οὕτως τὰ πράγματα διαιτῶ. οὔτε γάρ σε ῥαδίως οὕτω ψεύδεσθαι θέμις, τὸν πρὸς τὴν ἀλήθειαν τοῖς ἄλλοις ἡγούμενον, οὐ μᾶλλον ἢ σκοτίζεσθαι τὸν ἑτέρους φωτίζοντα. οὔτε τῶν ἡμετέρων οὕτως ἀλογεῖν, ὥστε μὴ εἰδέναι ἐν οἷς τετάχαται, εἰδότα καὶ βοηθεῖν πάντως, λείπεται βοηθεῖν καὶ ὡς ἔνεστι. τόδε ἐστὶ διὰ τῆς τοῦ λόγου δυνάμεως. ἆρα τί τοῦ εἰκότως ἐκνεύσας παραψηφίζομαι, ἢ τοῦτό γε μόνον ἀδυνατοῦσιν οἱ πονηροὶ παρασφαλίσαι ἡμῖν τὸ κριτήριον. εἰ δέ τι βαθύτερον ἄλλό σοι διεσκόπηται, καὶ διὰ τοῦτο πολὺς ἐρρύης ἐν τοῖς καθ' ἡμῶν ἐγκωμίοις, τὴν τῆς ἄνωθεν ἀγάπης ἐκούσιον βροχὴν ἀθρόαν δεξάμενος, ἐξήγησαι τοῦτο καὶ ἡμῖν, ὁ καὶ τὰ θεοῦ βάθη τῷ θείῳ λαῷ ἀνακαλύπτων διὰ τοῦ πνεύματος. πλὴν ὅπως ἂν ἔχοι τὸ πρᾶγμα τῶν νῦν ἡμερῶν πάντως ἀλλότριον ἐμοὶ φαίνεται, ὅτι διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, τῆς ἀγάπης ψυγείσης, δάκνομεν ἀλλήλους, καὶ κατεσθίομεν. καὶ παγχάλεπον οὐχ ὅπως ἐπαινέτῃ περιτυχεῖν, ἀλλὰ καὶ λοιδόρῳ μετρίῳ. καὶ ἀγαθὸς ἡμῖν, οὐχ ὁ τῶν κεχαρισμένων ἐπιδιδοὺς, ἀλλ' ὁ τῶν μὴ κακούντων ἐπιδαψιλευόμενος. ἁπλῶς τι μακαριστὸς, οὐχ ὁ τὴν ἀρετὴν θεῖος, ἀλλ' ὁ μὴ τὴν κακίαν δαιμονιώδης. σὺ μὲν οὖν, οὕτως ἔντεινε καὶ κατευοδοῦ, καὶ διάφερε τῶν κακῶν. ἔξεστι γάρ. οἱ δὲ ἐμοὶ μὲν ἀδελφοὶ, σοὶ δὲ μαθηταὶ, προσκυνοῦσι τὴν σὴν τιμιότητα, καὶ πῶς ἂν εἴποις γνησιώτατα κατασπάζονται. καὶ τὸ ἐπίταγμα κα-

τανῦσαι

τανῦν σοι ἐπαγγέλλονται. μόνον ἐπεύχου καὶ τούτοις καὶ ἡμῖν τῶν περιεστώτων πειρασμῶν ἔκβασιν.

Τῷ Ὀφεομάχῳ. Ἐπισ. ι.

Ἐγὼ δὲ τοῦτ᾽ ἐκεῖνο πρός σε, ὦ καλὲ Ἰωάννης, πέπονθα, ὅπερ οἱ λαγωοὶ πρὸς τοὺς βατράχους μυθεύονται. τὸν γὰρ ἄλλον ἅπαντα χρόνον τὴν αὐτὸς ἐμαυτοῦ δειλίαν ἀποκλαιόμενος, καὶ διὰ ταύτης ἀξιῶν εἰς μυχὰ γῆς κατορύττεσθαι, νῦν ἐπειδή σε δειλότερον εὗρον, αἴρω τε τὸν αὐχένα, καὶ μακρά σοι βαίνω κατὰ τὸν Σαλαμίνιον ἥρωα. τί γὰρ δήποτε, ὦ θαυμάσιε, οὕτω πρὸς τὴν θέαν τῶν πραγμάτων ἐξέπληξας, ὧν γε ἡμεῖς τὴν κακίαν ἐνεργὴν ὑφιστάμενοι χαίρομεν, καίτοι γε παντάπασιν ὄντες πρὸς ταύτην ἀπαράσκευοί τε καὶ ἀσυγκρότητοι. οἶσθα τὸν βίον ἡμῶν, ὅπως εἶχεν ἀπραγμόνως καὶ ἀνωφελῶς. καὶ τί γάρ, ἢ βιβλίων ὦζε καὶ πολιτείας ἀρχαίας, τῷ νέῳ τούτῳ βίῳ καὶ δραστηρίῳ μηδὲν ἐχούσης κατάλληλον. ἀλλ᾽ ἔτλην, καὶ ἔμεινα. σὺ δὲ πῇ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὡς ἐν ὁμίλῳ. τί πρὸς τὸν τῶν ἁρμάτων ἀποδειλιάσας κρόταλον. οὐκ ἔχουσιν ἐπιβάτην, οὐ παραιβάτην, οὐ μαχητὴν ἵπποι. φέρονται μόνον κείν᾽ ὄχεα κροτέοντες, ἀνηνιοχότες καὶ ἄτακτοι. ὑπόστηθι τὴν φοράν. ἀντίστηθι, καὶ αὐτίκα τοῦ δρόμου πεπαύσονται. ἤδη καὶ περιποπαύσας ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους, καὶ ἡ ἱππασία σου σωτηρία; ἆρα μή σοι γρίφους κατέλεξα, καὶ αἰνίγματα, καὶ χρῄζεις τῆς διαλύσεως; ἢ πρὸς τὸν λαβύρινθόν σε κατήγαγον, καὶ δεῖ σοι τοῦ μίτου τῆς Ἀριάδνης, πρὸς τὴν ἄνοδόν τε καὶ ἔξοδον; ἐγὼ μέν, οὐκ οἶμαι, αὐτόθι γὰρ οἶδας τὰ Βουλγάρων εἶναι πράγματα ταῦτα, ἅπερ ὁ τὴν ἀρχὴν

θαῤῥή-

διαῤῥήσας εἴδωλα πολέμου καταψεύσεται. εἶτα καὶ κατακυριεύσει τούτων, καὶ σώσει πάντα, καὶ σωθήσεται τὸ μέρος ὡς ἔνεστι. καὶ τόσῳ μᾶλλον, ὅσῳ καὶ θεὸν ἔχειν σπουδάσει σύμμαχον, ᾧ τὸ ποιεῖν δίκαια μᾶλλον ἀρεστὸν, ἢ θυσιῶν αἷμα, Σολομῶντος εἰπόντος ἐμάθομεν. δι' οὗ καὶ αὐτὸς τοῦτο ἀρέσειας, ἀνδρῶν ἐμοὶ φίλτατε καὶ χρηστότατε, ὡς ἂν ἀξίως τοῦ μαγευσαμένου σε λόγου καὶ θρεψαμένου πολιτευσάμενος, καὶ τὰς ἐμὰς ἀκοὰς εὐφραίνων. δόξαν οἰκείαν τὴν σὴν ὡς ἀγαπητοῦ υἱοῦ εὐκλεῖαν, καὶ τὸν δίκαιον θεὸν ἔχοις, τὴν κραταιὰν αὐτοῦ χεῖρα τῆς σῆς κελεύσεως ὑπερέχοντα, καὶ τηροῦντα σε πάσης ἀνώτερον κακώσεως καὶ κακώσεως.

Τῷ μητροπολίτῃ Θεσσαλονίκης, κυρίῳ Θεοδούλῳ. Ἐπις. ιά.

Τοῦτο μόνον ἔχοντες εἰς παράκλησιν, πάτερ ἱερὲ ἀδελφὲ καὶ δέσποτα, ἐν ταῖς πονηραῖς ταύταις ἡμέραις, τὸ ἀλλήλοις προσφθέγγεσθαι, καὶ τὰς ἀλλήλων ἐπικαλεῖσθαι εὐχὰς κατὰ τῶν λυπούντων συμμάχους, προσαγορευόμεθα τε τὴν ἁγιότητά σου διὰ τοῦ παρόντος γραμματίου ἡμῶν, καὶ ἀξιούμεθα ἣν ἔχεις βοήθειαν ἐπιπέμπειν τῇ ἀσθενείᾳ ἡμῶν, ὥσπερ στρατιώτῃ ἄλλως τε ἀσθενεῖ. καὶ δὴ καὶ καμόντι, σθεναρὸν καὶ ἀκμῆτα σύμμαχον. τὰς σάς φημι χεῖρας. αἳ μόνον ἀρθεῖσαι, καταβαλοῦσι τὸν Ἀμαλὴκ, τὸν τοῖς τοῦ θεοῦ ἐμποδὼν ἱστάμενον, καὶ τὴν εὐθυπορίαν ἀνείργοντα. πάσας γὰρ ὁδοὺς καταλαμβάνων, ταπεινοῦν σπουδάζει τὸ βασίλειον ἱεράτευμα, τὸ κράτιστον τοῦ κυρίου χοίνισμα. οὐκ ἀγνοεῖς τίς ἐστιν οὗτος ὁ ἀπ' ἀρχῆς ἀποστάτης καὶ τραχηλιαστής, ὁ τοῦ κόσμου τύραννος. κατὰ τούτου σε καλοῦμεν, τοῦ θεοῦ ἄνθρωπε. καὶ γένοιτο καὶ ἡμῖν, καὶ πᾶσι

τοῖς ὑπ' αὐτοῦ τυραννουμένοις, διά σου λυπούντων εὑρέσθαι ἄνεσιν. τάχα δὲ καὶ αὐτός τι μέγα τῶν σῶν εὐχῶν ἀπολαύσεις οὐ ταύτῃ μόνον, ὅτι νῦν τοῖς ἡμετέροις συναλγῶν συνησθήσῃ καλῶς ἔχουσιν αὖθις, ἀλλ' ὅτι καὶ ἰδίᾳ πολλαῖς ἐμπαρεὶς καὶ αὐτὸς ταῖς τῶν λυπούντων ἀκάνθαις χρήζεις τι τῆς ἐξαιρέσεως τούτων, καὶ γενόμενος οὐ μικρὸν ἀποίσῃ τὸ ὄφελος.

Τῷ Καισαρεῖ. Ἐπισ. ιβ΄.

ΔΕ'σποτά μου ἅγιε, ἀεί μοι τῶν σῶν γραμμάτων τὴν δρόσον ἐνσταζόντων τῆς παρακλήσεως, τὸ ἔναγχος τοῦτο διακομισθὲν, ποταμοῖς ὅλοις τῆς ἀθυμίας τὴν ἐμὴν καρδίαν ἐπέκλυσεν, ἀναδιδάξαν ὅπως τό τε σῶμά σοι πονήρως πέπραχε, καὶ ἡ ψυχὴ τῷ κήτει καταπέποθη τῆς λύπης, διὰ τὸν τοῦ ἐν πᾶσι παραμύλλου τοῦ σεβαστοκράτορος θάνατον, ἀμέλει καὶ πρὸς θεὸν εὐθὺς εἶδον τὸν ἄμφω δυνάμενον ἐξιάσασθαι. ὃς καὶ ψυχῆς ὢν πατὴρ, καὶ σώματος κτίστης, καὶ ταύτην ὡς τέκνον παύσει κλαυθμυριζόμενον τοῖς ἱλαρωτάτοις μειλίγμασι. καὶ τὸ κτίσμα στηρίξει διὰ τῆς ἰσχύος ἀντέρεισιν. ἅμα τε οὖν εἶδον πρὸς τοῦτον, καὶ ἡ πλείων τῆς ἀθυμίας ἀνεκόπη ἐπίρροια. ὡς δὲ καὶ πρὸς τὸ σὸν ἀπέβλεψα μεγαλόγνωμον, καὶ τὴν τῆς ψυχῆς φυσικὴν ἰσχὺν κατενόησα, ἐκάθισέ μοι ἡ κιβωτὸς ἐπὶ τῆς ξηρᾶς. ἐλογισάμην γὰρ, ὡς τὸ μεγαλεῖον τοῦ σοῦ νοῦ τὰ συμπεσόντα τῶν βελτιόνων ὕλην ποιήσεται. τήν τε τοῦ σώματος ταλαιπωρίαν ὑπόμνημα, ὥσπερ δὴ καὶ ἐστὶν, ἡγήσεται. καὶ παιδευθήσεται, μὴ πάντα τούτου χαρίζεσθαι, οὐ τὴν ἀπορροὴν ἀμήχανον μὲν στῆσαι, κἂν ἐπὶ μέγιστον ἀρθῶμεν σοφίας τε καὶ δυνάμεως. ὡς τῇ μὲν, πει-

ρεῖν.

νοεῖν. τῇ δὲ, πορίζειν τὰ σιτοῦντα. ἀλλ' ἐκείνῳ διδόναι σπου-
δαιότερον, ἵνα μὴ πᾶσαν λέγω τὴν λειτουργίαν τῶν ἐν ἡμῖν
θειοτέρων καὶ δεσποτικωτέρων. καὶ ὃ βασιλεύειν ἐτάχθη τῶν
ἐν τῷ καθ' ἡμᾶς αὐτοῦ κόσμῳ πρώτως, εἶτα καὶ τῶν
ἐκτὸς ἀλόγων. καὶ ὃ μόνον βέβαιον ἔχομεν, καὶ ὡς ἐκ τοῦ
ἀῤῥεύστου καὶ ἀνωλέθρου, ἄῤῥευστον καὶ ἀνώλεθρον. τὸν τοῦ
συγγενοῦς βασιλέως θάνατον, οὗ τῶν τῆς ἀγαθοσύνης χαρί-
των μάλιστα πάντων αὐτὸς πεπείραμαι. ὅθεν καὶ πενθητέος
ἐμοὶ ἐκεῖνος, εἴπερ ἄλλῳ τινί. καὶ τοῦτόν γε δέξῃ ἑτοιμα-
στέρον. καὶ πάντοτε μὲν γάρ σε πιστεύω κατὰ τὸν τοῦ παροιμια-
στοῦ λόγον. ὁ τὴν σοφίαν οὐχ ἧττον ἢ τὴν βασιλείαν ἔχεις
σαυτὸν, ἑτοιμάζειν τὰ ἔργα σου εἰς τὴν ἔξοδον, καὶ αὐτὴν
τὴν τοῦ σώματος φύσιν. καὶ ἁπλῶς, πᾶσαν τὴν ἀστατοῦ-
σαν κρίσιν, καὶ μόνον ἀκίνητον τὸ ἀεικίνητον ἔχουσαν, οἵ-
ους προδρόμους τοῦ πάντως ἐλευσομένου πιεζόμενον. μά-
λιστα δὲ νῦν ὥσπερ ἐγγυτέρους προδρόμους, καὶ ἵν' οἰκειότε-
ρον εἴπω, λαμπαδηφόρῳ προθεόμενον, ὅσον οὐκ ἤδη παρεῖ-
ναι τὸν προσδοκώμενον, καὶ διὰ τοῦτο μᾶλλον ἑτοιμαζό-
μενον, ὥστε σαυτῷ περιποιήσασθαι τὸ ἀτάραχον. οὕτως ἐγὼ
περὶ τῆς βασιλείας σου λογισάμενος, οἷα δὴ αὕτη
ἀμήχανος, πάντα διαλυθεῖσα καὶ τὰ πικρὰ πρὸς τὸ
ἥδιον, καὶ τὰ ἀσχήμονα πρὸς τὸ κάλλιον. ἐκ τοῦ τῶν τῆς ἀθυ-
μίας πολλῶν ὑδάτων κατακλυσμοῦ οὐδὲ πηλὸν ὅλως ἐνα-
πολελειμμένον ἑωρῶ τῇ καρδίᾳ μου. πάντα γὰρ ὁ ἥλιος
ἀποξηράνας ἐννοηθείς μοι μένον ὅπως διατεθήσῃ πρὸς
τὰ συμβάντα. τί δὲ οὐ μέλλεις καὶ πᾶν ἀηδὲς ἡδέως διὰ τὸ
μεγαλόψυχον δέχεσθαι, ὅς γε καὶ τοὺς ἐμοὺς λόγους τίνος
οὐκ ὄντας ἀηδεστέρους ἡδίους εἶναι πάντων ψηφίζεις. καὶ
ὁμολογεῖς ὁ ἀετὸς τοῖς κρωγμοῖς τῆς κορώνης θέλγεσθαι. καὶ
τοὺς παρ' ἡμῶν ἰχθύας πιστεύεις ἐπίσης τοῖς ἐμοῖς λόγοις

ἡδέως ποι γεγυμνωμένους ἀνεγερεῖν πρὸς πᾶν ἄλλο νεκρωθεῖσαν τὴν ὄρεξιν. σὺ μὲν οὖν ἀξίως φθέγγῃ τῆς σῆς χρηστότητος, σαυτὸν μᾶλλον ὑψῶν, οἷς συγκαταβαίνων αἴρεις τὴν ἐμὴν χθαμαλότητα. ἡμεῖς δὲ σύνισμεν ἡμῖν αὐτοῖς οὔτε λόγοις οὔτε ἔργοις οὐδὲν θελκτήριον ἔχουσι πλὴν ἀλλ' ἐστάλησαν ἰχθύες. οἱ μὲν, ἄρτι ταρίχευται. οἱ δὲ, ἀρτιδίοις ἐνωπτημένοι. καὶ ἡδυνθείη μὲν σοι ἡ διαλογή μου, ἣν ποιοῦμαι διὰ τοῦδε τοῦ γράμματος. ἡδυνθείησαν δὲ μᾶλλον τῇ ὀρέξει σου οἱ ἰχθύες, ὡς καὶ ἀποστολὴ καὶ εὐλογία, τῆς τὴν ζωοδότην ἡμῖν ἀποτεκούσης ἐν σώματι. ἀναζωώσαιεν ταύτην, καὶ ἐνίσχυσις τῷ σώματι γένοιντο, πρὸς τὴν τῶν κατὰ φύσιν ἐνεργειῶν εὐστάθειαν ἐπαγάγοντες. ἐπεὶ καὶ ὁ ἀριθμὸς τούτων τῆς κατὰ φύσιν τελειότητος σύμβολον. εἴπερ δεκάδος μὲν τὸ τέλειον. ἡ δὲ φύσις πενταδικὴ διὰ τὴν ὕλην ἐν τῇ τετράδι τῶν στοιχείων θεωρουμένη, καὶ τὸ εἶ ἐξ ὧν πάντα τὰ καθ' ἡμᾶς φυσικά.

Τῷ Σεμνῶν. Ἐπισ. ιγ'.

ΚΑίκεν τὸ βουλοίμην, καίκεν πολὺ κέρδιον ἦεν, ἱερωτάτη μοι κεφαλὴ, εἰ θανάτοις ἑτέρων οἱ κακοῦντες πρὸς τὸ ἀνθρωπινώτερον ἡμᾶς συνεστέλλοντο. νῦν δὲ οὕτως εἰσὶν ἄτρεπτοι τὴν κακίαν, ὥστε μᾶλλον ταῖς πληγαῖς κατὰ τὸν Αἰγύπτιον ἐκεῖνον κατασκληρύνεσθαι καὶ οὔπω τοῦτο ἂν ἀνδρικὸν, εἰ τοῖς τῶν οἰκείων, ἀλλ' ἤδη καὶ ταῖς σφῶν αὐτῶν, καὶ ὅ φασι πολλὰ τῶν θηρίων ἐπειδὰν τρωθεῖεν ποιεῖν, ἀφειδοῦντας μᾶλλον ἑαυτῶν, εἰσπηδᾶν τοῖς τραύμασι θυμικώτερον. ὡς ἂν ἐπειδὴ παθεῖν μέλλοιεν, καὶ δράσαιέν τι τοὺς πολεμοῦντας. εἰ βούλει δέ μοι, ὃ τὸν Ἀντίπατρον Ἡρώδην ἱστοροῦσι, νεανιεύσασθαι ἐπιθανάτιόν τι κατόρθωμα, καὶ τῆς

ἐκείνου.

ἐκείνου θρηνῳδίας ἄξιον, συναγαγόντα πάντας τοὺς τῶν Ἰουδαίων λογάδας εἰς τὴν τῶν βασιλείων αὐλήν, ἀθρόους κατασφάξαι ὡς ἱερεῖα, ἵνα, φησί, μηδεὶς οἶκος Ἰουδαίων πένθους ἄγων σχολὴν τῷ ἐμῷ ἐπικροτοίη θανάτῳ. τοιαῦτα τοίνυν δοκῶ μοι λογιζομένους τοὺς ἐν ταῖς νῦν ἡμέραις θηριώδεις καὶ Ἡρωδιανούς. καὶ πληττομένους, προσερεθίζεσθαι. καὶ θανατουμένους, ζῶσαν τὴν κακίαν καὶ ἀθάνατον ἐπιδείκνυσθαι. ὅσῳ μᾶλλον ἐγγίζουσι προορῶσι τὴν θείαν ἀπώλειαν, τοσούτῳ πλείους προσαπολλύναι σπουδάζοντας. ὡς ἂν προαπελθόντος, μήτ᾽ ἴδωσι τὴν ἑαυτῶν ἀπώλειαν, μήτε ταύτῃ ἐπιγελάσωσι, καὶ σχῶσιν ὅλως τοῦ διαχυθῆναι καιρόν. οὓς ἀεὶ πενθεῖν καὶ σκυθρωπάζειν ἠβούλοντο. εἰ μὲν οὖν τῶν τινα δαιμόνων ἐλπίζεις μεταβαλεῖν τὴν προαίρεσιν πεισθέντα τοῦτ᾽ ἢ βιασθέντα ταῖς οἰκονομίαις τῆς τοῦ θεοῦ ἀγαθότητος, ἔλπιζε δὲ τοὺς ἡμετέρους δημίους ἀγαθυνθῆναι ταῖς αὐστηροτέραις τῆς πολυποικίλης σοφίας ἐπεξελεύσεσιν. εἰ δ᾽ οὐ κἀκεῖνο, πῶς τοῦτο συνιδεῖν οὐκ ἔχω. καὶ τούτοις γὰρ εἰς ἕξιν ἡ κακία παγεῖσα, φύσεως δύναμιν ἔλαβε. ὡς, ἐξ ὧν δρῶσι, συμπείθομαι. πλὴν ἀλλ᾽ ἡμᾶς τὸ ὀφειλόμενον δεῖ ποιεῖν, ἐπεύχεσθαι τούτοις ἀεὶ τὴν διόρθωσιν. ἐπεὶ καὶ ὁ κύριος ἐπάζων τοὺς νεφροὺς τοῦ Ἰούδα, ᾔδει μὲν αὐτὸν ἀδιόρθωτον. οὐκ ἐπαύετο δὲ τὰ τῆς ἀγαθότητος ἐνδεικνύμενος. μὴ παύσαιο τοίνυν αὐτὸς τι τούτων ὑπερευχόμενος, καὶ ἄλλους, ὅσους οἶδας εὐσθενεῖς, ἐπὶ τῷ ἴσῳ ἔργῳ παρακαλῶν. εἴ πως ὑπὲρ ἐλπίδας τῇ πολυχειρίᾳ τὸν λίθον μετακινήσαιμεν.

Τῷ Κίτρους. Ἐπισ. ιδ.

Ὄντως τῷ πνευματικῷ πνευματικὰ καὶ τὰ κοσμικά, καὶ πάντα ἐν πᾶσιν ὁ θεὸς τούτῳ γίνεται. ἰδοὺ γοῦν σοὶ καὶ αὐτῷ, σεβασμιώτατέ μοι δέσποτα, τὰ πρὸς τὴν ἡμετέραν σταλέντα εὐτέλειαν. εἰ καὶ κοσμικά εἰσι, πνευματικόν τι αἰνίττεται. τὸ μὲν γὰρ ἐκ τῶν τοῦ ῥόδου σταγόνων μύρον ἐν δυσὶν ἀγγείοις ὑελίνοις ἀπεσταλμένον, ἐνουθέτει τὴν ἐμὴν πώρωσιν, ὡς ἂν σῶμα καὶ ψυχὴ καθαρὰ καὶ διαφανῆ ὡς ὕελον ἐργασάμενος, ἀγγεῖα ταῦτα τοῦ κενωθέντος δι' ἡμᾶς μύρου ποιήσωμεν. οἶδας πάντως τὸν ὡσεὶ σταγόνα ἐπὶ γῆς στάζοντα. τὸ δὲ σύφον εὐῶδες, σωτήριον γάρ. καὶ τὸ εὐῶδες σύφον, οὐκ ἄνετον γάρ. ζυγὸν μὲν γὰρ ἔχει, ἀλλὰ χρηστόν. καὶ φορτίον ἔχει, ἀλλ' ἐλαφρόν. καὶ αὖ εἰς συμφῶνα ἄγει, ἀλλὰ διὰ στενῆς. καὶ ἀγαλλιᾶσθαι κελεύει, ἀλλὰ καὶ ἐντρόμῳ προστίθησι. τὰ δὲ εὐώδη ξύλα ἄρα ματαίως οὕτω καὶ ἀργῶς παρὰ τῆς πνευματικῆς σου σοφίας ἔσταλται. ἀλλὰ λίαν ἂν αὐτοὶ ἀργοὶ εἴημεν, εἰ μὴ κἀνταῦθα τι πνευματικὸν ἐννοήσομεν. τίτταρα γὰρ ὄντα τὰ ξύλα, τί ἄλλο, ἢ τετραμερὲς ξύλον ἐδήλουν, ὃ τὴν σωτηρίαν ἡμῖν εἰργάσατο; ᾧ Παῦλος καυχώμενος, καὶ ἡμᾶς σὺν τοῦ Χριστοῦ σταυροῦν τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ τοῖς ἐπιθυμήμασι βούλεται. ἐδίδαξας οὖν προδήλως ἡμᾶς, ὅτι δεῖ σταυροῦν ἑαυτοὺς πᾶσι τοῖς κατὰ κόσμον ἡδέσι τε καὶ εὐώδεσι. καὶ εἴποι ἄν τις ἀστείως, ὡς τὰ σταλέντα καθ' ἑαυτῶν ἀπεστάλησαν. διὰ γὰρ τοῦ ἀριθμοῦ, ὡς εἴρηται, σταυροῦσθαι πρὸς τὰ τοιαῦτα βλαβερὰ διδασκόμεθα. μᾶλλον δὲ προσάγειν πάντα θεῷ, καὶ διὰ τῶν τοιούτων εἰς ἐπίγνωσιν αὐτοῦ ἔρχεσθαι τοῦ κἂν τοῖς ἄλλοις ἀτίμοις ξύλοις τοσαύτην τιμὴν διὰ τῆς εὐωδίας φυτεύσαντος.

οντος. καὶ πλείω δ' ἂν εἶχον γράφειν, ὅσα κατανενόηκάσι διὰ τῶν σταλέντων τὴν ἐμὴν διδάσκοντα ταπεινότητα, ἀλλὰ τί μοι τὸ ὄφελος. νοεῖν μὲν ταῦτα, μὴ πράττειν δέ. γένοιτο δὲ τῶν σῶν εὐχαῖς, καὶ νοεῖν με καὶ πράττειν τὰ δέοντα. καὶ τὸν ἐμαυτοῦ βίον ὀσμὴν ζωῆς ἀλλὰ μὴ θανάτου τῷ πρὸς ἐμὲ βλέποντι ποιμνίῳ παρέχεσθαι. ὃ καὶ μὴ παύσαιο ὑπὲρ ἡμῶν ἐξαιτούμενος.

Τῷ Καματηροπούλλῳ. Ἐπισ. ιε.

ΕΙ καὶ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο, ἀλλ' αὐτός γε καὶ θανόντα φίλον τὴν ὀφειλομένην χάριν ἐν τοῖς ὑπολειφθεῖσιν αὐτῷ καταθήσομαι. ἀμέλει καὶ τῷ τρισμακαριωτάτῳ ὑπερτίμῳ τῷ Ψελλῷ, καὶ στωμύλλῳ τὴν γλῶτταν, ὀφείλω μὲν, ὡς εἰκὸς, οὐκ ἀνταποδόσεως χάριτας. πολλὰ γὰρ οἶδα τῆς μνήμης τοῦ ἀνδρὸς ἀπονάμενος, οὐκ ἔχων δὲ ὅπως ὅλῳ τούτῳ χαρισαίμην τῷ μέλει αὐτοῦ, ὡς ἔξεστι, διὰ τῆς σῆς περὶ ἡμᾶς ἀγάπης, χαρίζομαι. ὁ γάρ τοι τὸ παρὸν ἡμῶν ἐγχειρίζων τῇ σῇ λαμπρότητι γραμματίδιον, θυγατριδοῦς μὲν ἐκείνου, πικρὰς δὲ πειραθεὶς τῆς τύχης, συμφορᾷ κέχρηται. ὅπως οὖν αὐτῷ καταλλάξῃς τὴν τύραννον. εἰ γὰρ μὴ μόνον συνιδεῖς, προσμειδιάσει τι τούτῳ, καὶ περιπτύξεταί ἤ πως καὶ τὴν αὐτοῦ εἰς τὸν κόλπον αὐτῆς εἰσαγαγοῦσα, δώσει τῶν ἀγαθῶν αὐτὸν δράξασθαι. καὶ μή τί με οἴου ἄλλως ἀφοσιούμενον ταῦτά σοι γράφειν. ἀλλὰ γὰρ μήτε τῶν λόγων ἐναίμην, μήτε τοῦ ἐπὶ τῇ σωτηρίᾳ τῆς ψυχῆς μου θελήματος, εἰ μὴ ἐγὼ ταῦτά σοι ἐκ βαθείας καρδίας γράφω ἐλεῶ γὰρ τὸν νεανίαν, ὡς πάλαι ποτὲ ἐν ὀλβίοις ἰδών. καὶ τὴν τοῦ πάππου τούτου ψυχὴν δέδοικα, μήπως ὀνειδίσῃ ἐμοὶ τὸ

σκληρὸν καὶ ἀπηρτημένον. ὀκνῶ γὰρ εἰπεῖν πῶς τὸν τῆς ἀριστε-ρᾶς ἐν ξίφεσι τὸν ἀπάνθρωπον ἐν χερσὶ περιφέροντα. εἰ γάρ μοι φανείη κατ' ὄναρ, καὶ τὴν γλῶσσαν ἐπαφήσῃ τὴν δωδεκάκρουνον, ἆρα μὲ οἴει καὶ τὴν τῆς ἐπιπλήξεως φαντασίαν ὑποστῆναι φρίκης ἄπερ καὶ ταραχῆς; εἰ δὲ πρὸς τοῖς ἄλλοις τὸν θεὸν παροξύνῃ διὰ Δαβίδ, καίτοι τεθνηκότα, τῆς Ἱερουσαλὴμ περιαυτίζοντα, κἂν ἄλλως ᾖ ἀνάξια, καὶ χωρὶς αἱμάτων, τί πρὸς ταῦτα, ὃ πρὸς τῶν ἐκείνου χαρίτων πείσομαι, καὶ τῷ δικαίῳ καὶ τῷ θείῳ τῆς Ψελλοῦ γλώσσῃ θλιβόμενος. ἀλλά με τούτων ῥῦσαι τῶν ἀναγκῶν, ἐν ἴσῃ δουλείᾳ τάξας τὸν στελλόμενόν σοι τρόπον. πάντως γὰρ πολλῶν σοι ἀνατιθέντων, ῥᾷδιον εἰ τὸ μὴ μᾶλλον. τὸν γοῦν ὑπὸ τοσούτων συνιστάμενόν σοι ὠφελείας ἀξιωθέντα ἀποκαταστῆσαι ἡμῖν. οὐ γὰρ ἐστενοχώρηταί σοι τὰ τῆς ὁδοῦ, καὶ σὲ θεὸς εἴη πάσης τηρῶν ἀνώτερον κακίας καὶ κακώσεως.

Τῷ Ἀγκυραίῳ. Ἐπιστ. ιϛʹ.

ΜΗ' καὶ τὴν γλῶτταν ἐπεδήθης ὁ σοφὸς πρόεδρος. ὑπὲρ, φεῦ! τῶν νῦν καιρῶν, οἳ τῇ ποδάγρᾳ καὶ γλώττας δεσμεῖν δεδόασιν. οὕτως πάντα πρὸς τὸ χεῖρον ἐξαγριαίνουσιν. ἀλλὰ μὴ, τοῦτο μὲν, οὐθ' ὑπὸ τῶν καιρῶν ἀνεωχμώθη, οὔτ' αὐτὸς πέπονθας. ἀφοσιοῖ δὲ τὰς πρὸς ἡμᾶς ὁμιλίας, οἷς τῷ ἀδελφῷ ἡμῶν ὁμιλεῖς, ἐμβιβάζων αὐτὸν καὶ συνετίζων ἐν ὁδῷ ταύτῃ ἣ πρὸς τὰς φιλοσοφίας προβαίνεται. δέχομαι τοῦτο, καὶ πάσης τῆς πρὸς ἡμᾶς ὁμιλίας τίθεμαι ἥδιον. ὅπως οὖν συνεχέστερον ὁμιλοίης τῷ νέῳ, εἴ τι σοι μέλλει τοῦ ἡμᾶς εὐφραίνειν πυκνότερον, ἀπολαυέτω μὲν οὖν καὶ τῶν κοινῶν σου τῆς σοφίας

κρατη-

κρατήρων, καὶ τῶν θυμάτων ἐσπάσθω σὺν τοῖς λοιποῖς καλῶς ἄφροσιν· ἐθέλω δέ τι τούτῳ καὶ ἰδίᾳ παρ' αὐτῆς γίνεσθαι, ἵν' ἔχοι κέρδος, ὅτι ἂν αὐτῇ λάθρα χαρίσηται. ἐπεὶ καὶ μητέρες πολλάκις ἐν ἀπολαβοῦσαι τῶν τέκνων ἰδίᾳ, τῶν τι γλυκασμάτων αὐτῷ παρατίθενται. βούλει δώσω κανόνα τοῦ λεγομένου; ὅσον ὁ Θεοφύλακτος ἐξῄρηταί σοι τῶν λοιπῶν εἰς φιλίαν, τοσαύτας ὀφείλεις ἰδίᾳ τῷ ἀδελφῷ τοῦ χάριτας, τοσοῦτον ἀγαπώμενόν σοι δεῖξαι ὑπὲρ σοῦ ἄλλους τὸν Θεοφύλακτον. δείξω καὶ ἕτερον μέτρον. ὁποῖον ἂν ἐβούλου με εἶναι τῷ σῷ Παύλῳ ὑπ' ἐμοὶ πλουμένῳ σοφίας ἢ μυστήριον, τοιοῦτος γενοῦ τῷ ἐμῷ Δημητρίῳ, τὰ φιλοσοφίας ὑπό σου ὀργιάζοντι. ἐρρωμένος διαβιοίης εὔθυμος, ἀνθρώπων ἐμοὶ χαριέστατε.

Τῷ Κερκύρας. Ἐπιστ. ιζ'.

Πῶς ἂν εἴποις ἡδέως ἔδεξαν μὲν σου τὴν ἐπιστολήν, τιμιώτατέ δέσποτα. καὶ πάντα μὲν καλὰ ἐν καιρῷ αὐτῶν. λόγος δὲ μᾶλλον. καὶ λόγος, τοιαύτης μὲν γνώμης γέννημα, τοιαύτης δὲ γλώττης μάθημα. ἐν ἀθυμίᾳ γὰρ ὄντι μοι, τὸ λαθικηδὲς ἐκεῖνο ἀνέχεας φάρμακον. καὶ διψῶντι, τὰ ἐκ τῆς πέτρας κατεγλύκανας νάματα. καὶ ὡς ὑποφήτης τοῦ παρακλήτου τὴν κατώδυνόν μου ψυχὴν παρεκάλεσας. καθ' ὑπερβολὴν γὰρ ἐβαρύνθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. οἵ τε γὰρ ἐχθροὶ κεκράτηνται. καὶ οἱ φίλοι καὶ οἱ πλησίον, οἱ μέν, ἀντέστησαν. οἱ δέ, ἀπὸ μακρόθεν ἔστησαν τὸ φιλανθρωπότερον. ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινούς, καὶ ἰώμενος τοὺς συντετριμμένους μὲν καρδίαν, παρεκάλεσεν ἡμᾶς οἷς ἐμίλησεν. καὶ ἡ δρόσος ἡ παρά σου

ἴαμα ἡμῖν γέγονε. καὶ χάρις τῷ πατρὶ τῶν οἰκτιρμῶν, καὶ θεῷ πάσης παρακλήσεως, ὅτι ἐν οὕτως ἡμέραις πονηραῖς, καὶ ἐν καιροῖς ἀφίλοις καὶ θηριώδεσι, τὴν σὴν ἱερότητα δέδωκεν ἡμῖν τῇ φιλαδελφίᾳ φιλόστοργον, σπλάγχνοις Ἰησοῦ δικαιωμένην. μὴ κάμοις οὖν ἄνθρωπε τοῦ θεοῦ, ἣ παρὰ τοῦ κυρίου ἐπλουτίσθης γνώμῃ καὶ σοφίᾳ πρὸς ἡμᾶς χρώμενος. καὶ τὸν θησαυρὸν ὃν ἔχοντες ἐν ὀστρακίνῳ σκεύει, τῷ τῆς ταπεινώσεως σώματι, χορηγῶν ἀφθόνως τοῖς χρήζουσι. ὡς ἐμέ γε οὔτι πρόσοδοι λυποῦσιν, ἐν αἷς ἦν ποτε τὰ τῆς ἀρχιεπισκοπῆς ἄλκιμα, οὔτε ἡ ἀπὸ ποταμῶν ἕως περάτων θαλάσσης διατεταμένη ἐξουσία καὶ ἐπικράτεια. τῶν μὲν γὰρ αὐτάρκως ἔχομεν. τὸ δὲ περιττὸν ἐκ τίνος ἐστί, μεμαθήκαμεν. τὸ δὲ, ἀρρωστότερον ἢ ὥστε ἀντέχεσθαι· ὁ δὲ τῶν φροντίδων περικλυσμὸς, καὶ ὁ πονηρὸς περισπασμὸς, καὶ τὸ μάτην ταράττεσθαι, καὶ μήπω πραῦναι ἀφ' ἡμερῶν πονηρῶν, ταῦτά μοι σὴς ὀστέων. ταῦτά μοι τοὺς μυελοὺς δαπανᾷ. οὕτω γὰρ τελείως πεφευγόσι τὸν λέοντα, ἡ ἄρκτος ἡμῖν συναντᾷ. καὶ ταύτην ἀποδρᾶσι, καὶ ἐπὶ τοὺς τοίχους τῆς οἰκίας τὰς χεῖρας ἐρείσασιν, ὄφις ἐκ τῆς ὀπῆς προκύψας ἐπίβουλος. ὃ καὶ μᾶλλον ἐμοὶ τὰς ὀδύνας δριμυτέρας ἐργάζεται. ἀλλὰ ταῦτα μὲν, καίτοι μάλα σφόδρα βουλόμενος ἐκπλῦσαι, ἵνα μικρόν τι τὴν καρδίαν κουφίσαιμι, ἐν πείσῃ στέγω τετληότι θυμῷ. φυλακήν τε καὶ νῦν τῷ στόματι τίθεμαι, ὡς κἂν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου, ἵνα μὴ καταισχύνω τὸ μέγα τῆς ἀρχιερωσύνης πρᾶγμα ἢ ὄνομα. τὸ γὰρ τῆς ἐπιστολῆς χρῆμα λάλον, ὡς οἶσθα, καὶ οὐκ ἐχέμυθον. ἐπεὶ παρὰ συνιερέων, καὶ συνεπισκόπων, εἰ δοκοῦσι κρίνειν τὸν λαὸν, ἐκτέτακται τὰ τῆς θλίψεως ἡμῶν δίκτυα. σὺ δὲ εὔχου, τίμιε πάτερ καὶ δέσποτα, ἡμῖν μὲν, τοὺς ἐν τοῖς ψευδαδέλφοις τούτοις

κινδύνους

κινδύνους ὑπεκφυγεῖν, αὐτοῖς δὲ ἐκείνοις, ἐκ τοῦ παγίδος ἀνανῆψαι τοῦ διαβόλου, ἐν ᾗ ἐζωγράφησαν. πάντως δὲ τὸν ἀπ' ἐναντίας ἡμῶν αἰσχυνθῆναι, καὶ διὰ πάντων τὸν θεὸν δοξασθῆναι. οὗ ἡ χάρις εἴη μετὰ τοῦ πνεύματός σου, πανίερε καὶ ἅγιε δέσποτα.

Τῷ Μερμυτλᾶν. Ἐπισ. ιη.

ΟΥ̓ τίς τοι θεός εἰμι, τί μ' ἀθανάτοισιν ἐΐσκεις; ἀλλὰ σοὶ μὲν ὁ φίλος καὶ ψευδῆ δίδωσι, καὶ ταῦτα τὴν ἀλήθειαν ἐν ταῖς Θέμιδος ἀποκρίσεσιν, ὧν εἰ προστάτης, ἀσκήσαντι. ἡμῖν δὲ ἀπέχρη μὲν ἐφ' ἧς ποτε ἦμεν τάξεως, δεκαδάρχαι τεταγμένοι. ἢ σὴν χάριν, τριακοντάρχαι. χιλιαρχίας δὲ καὶ στρατηγίας κλέος εἶον ἀκούομεν. μή μοι οὖν τὰς Λογγίνου κρίσεις προΐαπτε, μὴ καὶ δόξῃς ἴσον αὐτός γε οὐ κατὰ Λογγῖνον κρίνειν. τοσοῦτον γὰρ νῦν τῆς ἡμῶν αὐτῶν ὑστεροῦμεν δυνάμεως, καθ' ἣν ποτ' ἦμεν πάλαι ἄλκιμοι, ὅσον τί τε τῆς τῶν ἀρχαίων ἀπελειπόμεθα ἕξεως. οὔτε γὰρ τὰ χωρία ταῦτα ἐθέλει με διδάσκειν, καὶ τὰ βιβλία Ἅρπυιαι ἀνηρείψαντο. χεῖρες πρακτέρων οὐχ ἧττον ἡμῶν πᾶσαν ἀνάγνωσιν ἀφαιρούμεναι, ἢ ἐκεῖναι τοῦ Φινέως τὰ βρώματα. αἱ σὺ μὲν οὖν ἀπὸ τοῦ περιπατεῖν πρὸς τὴν Ἀκαδημίαν μετάβαινε, καὶ πρὸς τὴν Στοὰν, καὶ τὰ ταύτης κάλλη διάβαινε. ἐντρύφα δέ μοι καὶ τοῖς Ἰωνικοῖς λειμῶσι, καὶ διὰ τούτων Ζεφύρους δέχου ἐνέτῳ τῇ εἰσπνοῇ. δρέπου δέ μοι καὶ τῶν τῆς Ἰλιάδος ῥόδων, ὅσα σοι καὶ διὰ τούτων καὶ βουλομένῳ ἐστί. κάθου δὲ θεατὴς Τραγικοῦ θεάτρου, καὶ βωμολοχίᾳ Κωμικῇ προσπαιζε. μηδὲ τὴν βουκολικὴν ἀπαυλὴν σύριγγα, πηγάς τινας καὶ πίτυος ψιθυρίσματα καὶ ἔργ' ἄττα διάφορα ποιουμένην ἐμ-

μελῆ.

μελῇ. κἂν ἴσον ἐρωτικὸν ταύτης τῆς σῆς Μούσης δοκῇ κατάπλυστον. σὺ μὲν οὖν ταῦτα καὶ σὺν τούτοις ἢ καὶ πρὸ τούτων ἄρτῳ τρέφου τῷ ἐν τῇ καρδίᾳ στηρίζοντι. ὃς ἐκ τοῦ οὐρανοῦ καταβὰς σέ τε πάλαι διὰ τῆς ἐρήμου τῆς κακῶν ἀγωγῆς βαδίσαντας ἔθρεψε, καὶ νῦν τρέφειν ἔτι ἐπαγγέλλεταί τε καὶ δύναται. καὶ μή μοι τοῦτο μὲν, τὰς Μωσαϊκὰς πλάκας περιεργάζου, τό τε ἔξω λαμβάνων αὐτῶν καὶ τὸ ἔσω ἀνερευνώμενος· τοῦτο δὲ, τὰς προφητικὰς ὁράσεις ἢ ὁμοιώσεις ὡς δυνατὸν φανταζόμενος, καὶ τῇ χειραγωγῷ ἱστορίᾳ πρὸς τὴν τῶν παλαιῶν καθοδηγούμενος μίμησιν. ἔτι βλέπε τὸν τῆς χάριτος ἥλιον, καὶ τῶν τούτου ἀκτίνων κατὰ τὸ ἐγχωροῦν ἐπαπόλαυε. συγγένου δὲ Γρηγορίοις, καὶ Βασιλείοις, καὶ τῷ μακαρίῳ περὶ τούτους χορῷ. καὶ τούτων μὲν ἁπάντων τῶν ἀγαθῶν αὐτὸς εὐωχοῦ. ἡμῖν δὲ συνεύχου, τὸ μὴ καὶ τὸ ἔπλεινα φθόγγον ἀποβαλεῖν. οὕτω πάνυ πονήρως πέπραγα. ἀλλ' ἴδοιμί σε τὴν ποθουμένην ὄψιν, καὶ τῆς λαλιᾶς ἐκείνης ἀκούσαιμι, ἣν πάντοτε καὶ πρὸ πάντων ἔχω θαυμάζων, ὦ καὶ λόγοις καὶ ἔργοις ἐμοὶ πανυπέρλαμπρε.

Τῷ Ἀνέμᾳ. Ἐπιστ. ιθ΄.

Φίλον λόγου θέλγητρον ἐπίκουρον νόσου, ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί γε. ταῦτα Ὀρέστου ὄντα, ὡς οἶσθα, φιλτάτη μοι κεφαλή, μικρόν τι παρῳδήσας ἐπὶ σοὶ λέγω. βούλει σοι προσθήσω καὶ τὸ τοῦ Κωμικοῦ, ὡς ἥδομαι, καὶ τέρπομαι, καὶ βούλομαι χορεύειν. ἀλλὰ τί τῷ τῶν ἁμαρτωλῶν ἐλαίῳ λιπαίνω μου τὰ γράμματα, ἐξόν τοι τοῖς καλλιελαίου δώροις φαιδρύνεσθαι. μεγαλύνει ἡ ψυχή μου τὸν κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ. ἔτι ἐνέδυσέ με ἱμάτιον εὐφροσύνης, καὶ καταστολὴν δόξης,

ἀντὶ πόματος ἀκηδίας, διέῤῥηξε τὸν σάκκον μου, καὶ περιέζωσέ με τὴν εὐφροσύνην. ὅτι σοῦ ἐχθροὺς μου ἐδωκέ μοι νῶτον, καὶ σοῦ μισοῦντας με ἐξωλόθρευσε. καὶ ἀπέστειλεν ἄνθρωπον ἡμῶν ἔμπροσθεν σοῦ συντετριμμένους ἰασόμενον, σοῦ ἀσθενοῦντας ἐπισκεψόμενον, πᾶσι τὰ πάντα πρὸς σωτηρίαν ἐσόμενον. ἀλλ᾽ εὖ γε ὅτι τοῖς καθ᾽ ἡμᾶς ἐπιφανὴς μέρεσιν ἀλεξίκακος, ὡς ταῦτα γε ἤδη ἀπέγνωσο. καὶ Λυσίας ἂν εἴποι. ἐξείργασο ἡγεμόνων κακότης. καὶ νῦν μὲν ὁ καπροκτίστης καθῄρει τὰ τῶν ἐλεεινῶν. νῦν δὲ ὁ καπιπάνος, καὶ τὸν χοῦν ἐλικμᾶτο. ἦν τί καὶ τρία αὐτοῖς τῷ Φαραὼ τις πρεσβικῶν ἀπὸ τῆς κλήσεως. οὐκ οἶδα εἰ τῶν προλελεχθέντων ὅπως τι οὖν ἀνεκτότερον. ἀλλὰ νῦν ἐπεσκέφθησαν ἐπὶ σκοπῇ ἐξ ὕψους, καὶ ὁ λόγος ἐπιστητήσει αὐτῶν, εἰ μήπω ἐγὼ τοῦ ἐμοῦ καὶ τοῦ παντὸς ἡδέος Νικόλαος ἐπιλέλησμαι. καὶ ἀγαλλιάσονται ἀνθ᾽ ὧν ἡμερῶν ἐταπεινώθησαν ἐκ τῶν ὧν εἴδοσαν κακῶν. τοῦτο μὲν, αὐτοῖς ἔσται. κἀγὼ μηνυτὴς ἐγὼ τῶν ἐσομένων εὐάγγελος.

Τῷ Μεγαλοβύτλων. Ἐπιστ. κ΄.

ΤΟν βραχὺν μου τοῦτον χρόνον, ὃν σεσιώπηκας, εἰς ἑκατονταετηρίδας ἴσθι μετρούμενον. οὕτως ἐγὼ τῆς σῆς ἐρῶ λαλιᾶς, ὦ πάντων ἐμοὶ πανυπέρλαμπε. καί μοι τὸ σὸν γράμμα φανὲν, ὁ ἡλίου ποτὲ Φοῖνιξ ἐστὶν. ἀλλ᾽, ὦ μακάριε, μὴ τοῦτον τὸν φοίνικα, τὸ τοῖς Αἰγυπτίοις σπάνιον θέαμα. τὸν ἥλιον δὲ μιμούμενος καθημέραν ἐπίλαμπέ μοι γράμμασιν. μᾶλλον καὶ ἡμέραν μοι ποίει μακροτέραν, ἄλλως νύκτα κατακρύπτων. οὐ γὰρ δὴ προφασίσῃ τὴν περὶ τὰς νύκτας τριβὴν, ἢ ἀδικήσεις γε τὴν σαυτοῦ ἀλήθειαν, κἀκείνας ἀρκεῖν, καὶ τοῖς πρὸς ἡμᾶς δυνάμενος γράμμασιν. οὐ μᾶλλον γὰρ τῷ τοῦ Ὁμήρου Παίονι

περὶ πολέμους, ἢ σοὶ περὶ λόγους τὸ ἀμφιδέξιον. ὅς γε καὶ τοὺς σοὺς αὐτοσχεδίους ἀναπνεῖς κάλλιόν τι καὶ ἥδιον, ἢ οἱ τοὺς τῶν ἐλλυχνίων ἀπόζοντας ἀποτίκτοντες. οὓς βοστρυχίζουσι, καὶ κτενίζουσι, καὶ περιαρτῶσιν ἐκ σαπφείρου ἐνώτια. καὶ πῶς μέν τι δοκοῦσι παρὰ θεάτρῳ μεθύοντι. ἥλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην, καὶ οὐδὲ τὸν ἑῷον ὁρῶμεν. εἰ μὲν οὖν ἔδει σοι χρόνου καὶ περιόδων ἐπὶ τοὺς τόκους τῶν λόγων, εἶχεν ἄν λόγον σοι τὰ σπάνια καὶ χρόνια γράμματα. ἐπεὶ δὲ διαπετάσας τὰς θύρας τοῦ νήφοντος στόματος θεσπιῳδεῖς * * * χρυσηλάτους, ὁρᾷς, ὅπως ἀδικεῖς τοὺς ἐμοὺς ἔρωτας ὁ τῆς Θέμιδος προνοούμενος. ἀλλὰ μὴ σύ γε τοῦ λοιποῦ. ἐπίπεμπε δέ μοι τοὺς σοὺς Ζεφύρους κακῶς κεκαφυτὸ θυμῷ. οἶσθα τὰ καθ' ἡμῶν ἀρρωστήματα, καὶ μᾶλλον τὰ νῦν, ὅτε ὁ κύριος ἡμῖν ἐπανέτειλεν, ὁ δεινὸς κασδίωος, ὡς σφοδρὸν ἡμῖν ἐπιβαλὼν καύσωνα, πᾶσαν ἰκμάδα ζωογόνον ἐξέτηξεν. ἀλλὰ τοῦτον μὲν, ὃ μόνον εἶχον, ἠμυνάμην στίχοις ἰαμβείοις, πολλὰς ἐλεγείας ᾄσαι δι' ὅλου ἐνιαυτοῦ με καταναγκάσαντος. σὺ δὲ ἐπεὶ κακοπαθῶν ἐπιφαύσεις οὔποτε ἡμᾶς ἐπιλείψουσιν, οὐκ οἶδ' εἴτε διὰ τὴν ἀναγκαίαν τοῦ περιέχοντος νῦν περίοδον, εἴτε διὰ τὴν τῶν ἁμαρτιῶν πρὸς τὸν θεὸν ἄνοδον, μὴ παύσοιο ψυχαγωγίας ἡμῖν προθυμούμενος. πάντως οὐδ' αὐτόν σε οἱ Ζέφυροι ἐπιλείψουσιν, ἢ πρότερον ἂν τὴν ἀρωματοφόρον ἡ εὐωδία.

Τῷ Ἀνέμᾳ. Ἐπιστ. κά.

Τὸ ἐμὸν ὄναρ μοι λέγεις, ἀνδρῶν ἐμοὶ ποθεινότατε, ἐκβεβαρβαρῶσθαι λέγων ἐν μέσοις Βουλγάροις. σκόπει γὰρ ἔστιν ἐγὼ τοῦ τῆς ἀγροικίας κρατῆρος πέπωκα,

τοσούτων

τοσούτων ἐτῶν τῶν τῆς σοφίας χωρίων ἀποδημῶν, καὶ ὡς ἐμεθύσθην τῆς ἀμουσίας. ἀλλὰ γάρ τίς ἡμῖν δώῃ τὴν ἐναντίαν μεθυσθῆναι μέθην ἐκ τοῦ τῆς σοφίας κρατῆρος, ὃν αὕτη παρὰ τῷ Σολομῶντι κίρνησιν, ἔμφρονας ἀποδεικνύουσα τοὺς πῶς ἄφρονας. ποσάκις πρὸς αὐτὴν εἶπον ταῦτα δὴ τὰ τοῦ ᾄσματος. δεῖξόν μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν μοι τὴν φωνήν σου. ἡ δέ με ὑποφεύγει, καὶ ὑποκρύπτεται, καὶ ὑποκνίζει μᾶλλον τοὺς ἐμοὺς ἔρωτας. ἐγὼ δύσερως, ἀθεράπευτος, κινδυνεύων μῦθος γενέσθαι τῷ βίῳ, καθάπερ ὁ τῆς Ἠχοῦς ἐρῶν, εἴτε δαίμων εἴτε θεός. ἢ ὁ πολυλάλητος Τάνταλος ἀεὶ μὲν διψῶν, ἀεὶ δὲ τὴν πόσιν ἐξαπατώμενος. αὖθίς μοι τὸ τοῦ Σολομῶντος ἔπεισι λέγειν. εἶπα, σοφισθήσομαι, καὶ αὕτη ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν. καὶ λέγων ταῦτα, οὐδὲν ἀλλ' ἢ ἐπὶ τοῖς ἐμοῖς ἔοικα πάθεσιν. ἰατρείαν δέ τινα πολλοῦ γε δεῖ μηχανᾶσθαι. ἡμῖν μὲν οὖν, ὡς χρονίοις οὖσιν ἐν γῇ Βουλγάρων, ὁμότροφος ἤδη ἡ ἀγροικία, καὶ ὁμοέστιος. σὺ δὲ μὴ οὕτω θρύπτου πρὸς τοὺς εἰδότας εἰρωνευόμενος. χθὲς γάρ που τὰς βίβλους παρῆκας τοῖν χεροῖν, ὥστε σοι ἔτι παρεῖναι τὰ τῶν σοφῶν ἐνηχήματα. πλὴν ἀλλὰ καὶ νῦν σοι βίβλον Χρυσοστομικὴν διεπεμψάμεθα. ἡ δὲ τῆς σοφίας πηγὴ ἡ σοφία Χριστὸς εἴη σε συνετίζων καὶ συνεμβιβάζων ἐν ὁδῷ ταύτῃ ᾗ πορεύῃ, καὶ διδάσκων τὴν αὐτοῦ γνῶσιν μετὰ τῆς πράξεως.

Τῷ Κερκύρας. Ἐπιστ. κβ´.

ΚΑὶ πάλιν ἡμῖν ἐξ ὕψους ἀποσκοπή, ὅτι πάλιν ἐκ σοῦ μοὶ γράμματα, τιμιώτατε δέσποτα. ὧν ἡ δύναμις οὕτως ἐπὶ τὴν ἐμὴν κατέβη διάνοιαν, ὡς οὐ νιφετὸς

ἐπὶ

ἐπὶ χλόην, οὐδὲ ὄμβρος ἐπ' ἄγρωστιν. ἡδύνθη γάρ μοι ἡ διαλογή σου, φιλαδελφίας ἠρτυμένη χάριτί τε καὶ ἅλατι. καὶ ὡς παρόντα περιεπλάκην, καὶ κατησπασάμην τὸν ἐμὸν δεσπότην καὶ πατέρα ἀγάπης στόματι. ἀλλ', ὦ φθόνε, πῶς ἡμᾶς ἀλλήλων μακροῖς οὕτω τοῖς θριγγίοις διέστησας, ἵνα καταμόνας κεντῇς ἑκάτερον, καὶ ἡ οὐαὶ τῷ ἑνὶ ἀνὰ μέρος, καὶ αὖθις τῷ ἑνί. καὶ μὴ ἄρρηκτον γένηται τὸ καθ' ἡμᾶς σπαρτίον τῇ πλοκῇ δυνάμενον. εὐλογητὸς ὁ θεὸς ὁ τοῦ θεοῦ λόγος, ὃς καὶ τοὺς μακρὰν ἐγγὺς ποιεῖ τῇ τοῦ λόγου δυνάμει. καὶ τῶν γραμμάτων τῇ χάριτι. καὶ διαψευδεῖς ποιεῖ τὰ τοῦ φθόνου σοφίσματα. εἰ γὰρ καὶ ἀπωρφανίσθημεν ἀπ' ἀλλήλων, προσώπῳ γὰρ τοῦτο καὶ οὐ καρδίᾳ, ἀλλ' ὁμιλοῦμεν ἀλλήλοις διὰ τοῦ τῶν ἐπιστολῶν στόματος. καὶ ἀπὸ τοῦ καύσωνος τῶν λυπηρῶν ἅτερος ἅτερον ἀναψύχομεν. ἠχοῦς μὲν ἔργον ποιοῦντες, καὶ ἀντιδιδόντες ἃς περὶ τῶν θλιβέντων φωνὰς λαμβάνομεν. ἀποκουφίζοντες δὲ ὅμως ἑαυτοὺς διὰ τῶν ἐρυγῶν τοῦ λόγου τοῦ τῆς καρδίας βαρέος πνεύματος. οὐκοῦν ἐπειδή μοι τὸ τῆς τῶν περί σε διηγήσεως ποτήριον προὔπιες, ἀντιπροπίνω κἀγώ σοι τοιαύτην πρόποσιν. ὡς ἀπόλοιτο ἡ ἄμπελος. ἐξ ἧς ἡμῖν τοιαῦτα πόματα. ἐξέθλιψε μὲν ἡμᾶς Σεναχηρεὶμ ὁ Ἀσσύριος, ἐν ἡ μέσῃ τῶν ποταμῶν ἡμῖν ἀμείλικτον ἐπαπέστειλεν. ὁ δεύτερος δὲ πολλῷ τῷ μέτρῳ βαρύτερος ὅσῳ καὶ ἀφρονέστερος. τά τε γὰρ ἄλλα ἡ μωρία καὶ τὴν κακίαν ἀθλάστους ποιεῖ τοὺς αὐτῆς τροφίμους καὶ ἀπεράμονας. οὗτος ὑπὲρ τῶν ἡμετέρων σπλάγχνων ἀντιστᾶσιν αὐτῷ, εἴγε δεῖ σπλάγχνα καλεῖν τοὺς ὕστερον ἐπιβούλους, καὶ ὑπὲρ τοῦ λαοῦ κοπτομένους καὶ μελιζομένους βραχέα τινὰ λαλήσασιν ἐγκοτήσας, κατέφαγέ με, ἐμελίσατό με, ἐνέπλησέ με πικρίας, ἐμέθυσέ με χολῆς ἑνὶ

λόγῳ.

λέγῳ. οὗτος μὲν αὐτῷ τίμιος. ὃς ἂν ἢ εἴπῃ τι κατὰ τῆς ἐκ-
κλησίας, ἢ ἔδρασεν. οὗτος δὲ ἄτιμος, καί τινος οὐ κά-
κιον πράττων, ὃς ἢ ὁμιλήσας ἡμῖν κατημελύνθη, ἢ πρὸς τὴν
ἐκκλησίαν ἐν ἑορτῇ γοῦν εἰσελθών. καὶ γὰρ καὶ τούτου
τοῖς Χριστιανοῖς ἐφθόνησεν. ἵν' ἐν τῷ κοινῷ τὸ κατ' αὐτὸν
αὐτὸν κρύπτηται. αὐτὸς γὰρ, οὐδὲ τοῦ προσκυνῆσαι τὴν
θεομήτορα ἑαυτὴν ἠξίωσεν. ὡς μὲν ᾤετο, ἑαυτῷ προμη-
θούμενος, τὸ πρὸς ἡμᾶς ἀταπείνωτον, καὶ ἀνένδοτον. οὕτω
γὰρ ἀπονενόηται. ὡς δ' ἐγὼ κρίνω, τοῦτο μόνον πάσχων
ἑαυτοῦ ἄξιον, καὶ αὐτόθι ἔχων τὴν δίκην, ἐξ ὧν ἐπάλλως ὅ
φασι μαίνεται, οὔτ' ἀνέρας τίειν εἰδώς, οὔτε θεόν. ἀλλ'
ἔλεος τῆς ἀποδύσεως αὐτὸν λύσσης γινόμενος. ἐκ τούτου
πῶς δοκεῖς ἡμᾶς διατεθῆναι σὺν ἐνταυθοῖ ἀπαξά-
παντας; οἱ μὲν, ἀπεστάλησαν μόνον. οἱ δὲ, καὶ ἐπανέστησαν.
πᾶσι δὲ ἁπλῶς ἡ κακία ἐνεκυβίστησεν. ἡμῖν δὲ Ἰησοῦς
ἀπελείφθη τὸ σωτήριον καὶ πρᾶγμα καὶ ὄνομα. ὃ μετὰ
τούτου συλληφθέντος, τῶν ἄλλων σκορπισθέντων, ἣν ἐγκαμ[illegible]
ἔσαι δὴ καὶ ἐπάσχομεν. ὑπεφώνει δὲ ἄρ' ἡμῖν τὴν γλυκεῖαν
ἐκείνην φωνήν. θαρρεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. μετὰ
ποίτης ἔτι καὶ νῦν βουκολῶν ἡμᾶς εἰς τόπον χλόης ἐκεῖ
με κατεσκήνωσε, καὶ ἐπὶ ὕδατος ἐκτρέφει με ἀναπαύσεως.
τί ἔτι. ὥσπερ οὐκ ἀρκεσθεὶς ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτό-
νος πολέμιος, ταῖς ἀγχόθι τρώσεσί τε καὶ πλήξεσιν,
ἐπισκοπικὸν βέλος καθ' ἡμῶν ὤξυνεν. περὶ οὗ καὶ πρό-
τερον γράψας τῇ ἁγιωσύνῃ σου, ἠνιξάμην. τὸν γάρ μοι
τῆς δεῖνα πόλεως ἐπίσκοπον, ἄνθρωπον πάσης κακοτεχνίας
ἐργάτην ἅμα καὶ ἐργαστήριον ἐπαναστήσας, ἐμὲ μὲν, μι-
κροῦ μετὰ τῶν καταβαινόντων ἐν τάφοις ἔθετο. ἐκεῖνον δὲ,
φονέα, φεῦ τῶν ἐμῶν κακῶν, ἀπειργάσατο. ἀλλὰ τὰ κατ'
ἐκεῖνον ἐκτραγῳδεῖν μακρότερον μὲν ἢ κατὰ τὴν οὖσαν

σχολὴν ἐμοὶ λέγειν. ἀνιαρώτερον δὲ, ἢ κατὰ τὴν ἐνοῦσάν σοι ἀλυπίαν ἀκούειν. ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῇς, διὰ τὸ οὐχ ἧττον εἰς ἐκεῖνον ἢ εἰς ἐμὲ φιλάδελφον. κατὰ γὰρ τὴν σοφὴν νουθεσίαν, ἢ κακῶς δρῶν ἐστιν ὁ πάσχων κακῶς. καὶ διὰ τοῦτό σοι καὶ ἐλεεινότατον. κἀντεῦθεν ὁ περὶ τούτου λόγος σοι λυπηρότερος. παυσόμεθα γοῦν περὶ τούτου λέγοντες. ὡς ἂν μὴ διπλῇ τὴν ἀρχιερωσύνην ὑβρίζωμεν. οἷς τε ποιοῦμεν, ἃ μηδὲ λέγειν ἄξιον. καὶ οἷς λέγομεν, ἃ μηδὲ ἐννοεῖν προσῆκον. αὐτοῦ γὰρ δεῖ τὰ τοιαῦτα καταχωννύεσθαι, ἵνα μὴ δῶμεν πλατυτέραν χώραν τοῖς τοῦ λαοῦ πάθεσι. καὶ ἄλλως δὲ περισπώμενος τῷ ἀδελφῷ, κἂν αὐτὸς ἀπόνδος ᾖ μὲν, καὶ κατάστικτος τοῖς ποικίλμασιν. ἀνακόλουθον ἂν δρῴην, ἀναξαίνων τὴν ἀηδίαν. πλὴν ἀλλὰ καὶ τὰ αἴτια τῶν λυπηρῶν τῇ σῇ τιμιότητι δηλοῦν ἀμυδρῶς θέλοντες τοσοῦτον αὐτῶν ἐπεμνήσθημεν. διὰ ταῦτά μοι ἀναγκαῖον, τὴν ἐπὶ τὸν βασιλέα στέλλεσθαι. ταυτὸν δὲ εἰπεῖν, τὴν ὀλοὴν αὖθις ἀναμετρεῖν Χάρυβδιν, ἢ Αἴγυπτον διιέναι, χαλεπὴν ὁδὸν ἀργαλέαν τε. μὴ γὰρ οἴου με, τοῦ θεοῦ ἄνθρωπε, τὴν ὁδὸν ταύτην ἐλάττω νομίζειν πασῶν ὧν ὑπέστην θλίψεων, ἢ τὴν δοκοῦσαν λύσιν τῶν δυσχερῶν. μὴ δεσμὸν δοκεῖν ἀρρηκτότερον. οὐ ταύτην μόνον, ὅτι στρατοπέδοις παραβάλλων ἐπίσκοπος χρῆμα ἐπίφθονον ἢ μισητὸν ταῖς ἁμαρτωλαῖς ταύταις ἡμέραις. οὐδ' ὅτι δεῖ. μὲν ἡμῖν σὺν ἵππους τρεῖς τοὺς ἔσω τίκτειν, εἰ ὃν τὸ τοῦ μύθου Ἠλύσιον ἐμανθάνομέν τε, ἡνίκα ἐν παρθένοις τῆς παιδείας ἦμεν, καὶ ἐδιδάσκομεν, ὅτι ἐπεργασοῦμεν ἑτέρους, ἵν' ἔχοιμεν πάντας ἐφίππους ποιεῖν, οἷς ἂν ὁμιλήσαιμεν. τὰς δὲ ἀρούρας χρυσοῦν θέρος ἡμῖν ἀνιέναι, ἢ καὶ τὰ δένδρα χρυσοῦς περιβάλλειν καρπούς. οἷα τὰ τῶν Ἑσπερίδων μῆλα τῇ ποιήσει κεκαρποφόρηται. ἢ γὰρ οὐ τοιαῦτα παρὰ

παντὸς.

παντὸς οὗ τινος οὖν ἀπαιτούμεθα. κἂν μὴ περὶ τοῦ πι-
κροῦ χρυσοῦ ἐκθεραπεύειν τοῖς ποθουμένοις μειλίγμασιν
ὡς κατορύττοντες βλασφημούμεθα. ὡς ὄφελόν γε ἐκεί-
νους τοῦ ταῦτα λέγοντας. οὔκουν ταῦτα μόνα τὴν πρὸς τὸ
στρατόπεδον ὁδὸν ἀνάντη ποιοῦσιν ἡμῖν ἢ στενήν τι καὶ τε-
θλιμμένην, καὶ οὐδὲ τὸ τέλος ἀγαθὸν ἔχουσαν. ἀλλὰ καὶ
τὸ ἀραχνῶδες τουτί μοι σῶμα; ὅπερ, ὡς οἶδας, καὶ πρὸς
πάντα μὲν πόνον, μάλιστα δὲ καὶ τὸν ἐν ταῖς ὁδοῖς, ἀσθενές τι καὶ
εὐδιάλυτον. εἰ δὲ σύ γε δύσαις ἀλκήν, καὶ ὑπὲρ ἡμῶν
τὴν τῶν εὐχῶν περισώζῃ δύναμιν, πάντα ῥᾷω ἡμῖν γε-
νήσεται, τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιοῦντος θεοῦ,
ὁδοποιοῦντος ἡμῖν διὰ τῶν σῶν ἀγγελικῶν εὐχῶν, καὶ τοὺς
λίθους ἐκ τῆς ὁδοῦ διαρρίπτοντος.

Τοῦ αὐτοῦ. Ἐπισ. κγʹ.

ΟΥ'δὲν ἐμοὶ λοιπὸν δυσχερές, ὅτι τοῦ πάντων ἡδίονος
καὶ γνώμης καὶ γλώττης ἐδεξάμην προσφώνημα,
καὶ οὐ πρόσκαιρον, ὡς ὑψηλὴν ἀέρος πληγὴν δεχομέ-
νην ἅμα τῇ συστάσει καὶ τὴν διάλυσιν, ἀλλ' ὑφεστὸς καὶ
παράμονον. γράμμασι γὰρ ἐποχούμενον ἐκ τῆς σῆς μεγα-
λοπρεπείας, διέβη πρὸς τὴν ἐμὴν ταπεινότητα, ὥστε πα-
ρεῖναί μοι προσφωνεῖσθαι παρά σου ὁσάκις ἂν ἐθελήσαι-
μι, τὸ εἰλητάριον ἀνελίττοντι. ὅπερ ἐστὶ ῥᾷον εὐθὺς ἔχειν
ἀποτινασσομένῳ τὰς ἐπικειμένας βαρύτητας. διεξιόντι δέ
μοι τῇ ἀναγνώσει καὶ τὰ σὰ πρόπομα, οὐδὲν ἄλλ' ἢ τὸ λαθυ-
κηδὲς ἐκεῖνο πίνεται φάρμακον. ἢ ἵνα τὸ οἰκειότερον εἴπω,
διὰ τὴν ἀπόλαυσίν σου νῦν γῆν τῶν Κολχῶν τῇ τῆς Κολ-
χίδος Μηδείας τέχνης τὸ γῆρας μοι ἀποξύεται, καὶ ἡ νεό-
της ἀνακαινίζεται. ὁρᾷς ὁπόσων ἐν καιροῖς δυστυχῶν

κοινῶν αὐτὸς εὐτυχῶ διὰ σὲ καὶ τὰς σὰς εὐτυχίας. αἳ καὶ τὰς ὑμνουμένας τῶν παλαιῶν ὑπερβάλλουσιν. ἐγὼ δὲ καὶ τὸν καιρὸν τῆς ὑποδοχῆς τοῦ προσφωνητικοῦ δεξιὸν οἰωνὸν ἐθέμην. καὶ λέγοι τοῦτο. ἐπεὶ καὶ ἀστὸς ὁ προσφωνῶν ἐπιδέξιος. ἀπιόντι γὰρ πρὸς τὸν μέγαν Ἀχίλλιον, ὡς ἂν τῇ πανηγύρει συνεορτάσαιμι, κατὰ τὴν ὁδὸν ἐνεχειρίσθη τὸ γράμμα σου. σὺ δὲ καὶ αὐτόθι ἐμπικράνῃ τοῖς ἡμᾶς θλίβουσι, τοῖς τῆς ἀπληστίας θεραπευταῖς, τοῖς πολεμίοις τοῦ εὐαγγελικοῦ ἐπαγγέλματος, τοῖς ἀλιτηρίοις τοῦ Χριστιανικοῦ πράγματος. ὃ μόνον ἔχεις τοῦτο βέλος ἐπίπεμψον τοῖς καταράτοις· οἱ τὴν γαστέρα τοῦ πανδοχέως ᾅδου στενὴν ἀποδεικνύοντες, ἐπιγαυριῶσι τῷ προτερήματι. τούτων μὲν ὁ κἀκεῖνο τὸ μέγα κἄν τις χειρωσάμενος Ἰησοῦς ὑπὸ τὴν οἰκείαν χεῖρα ποιήσαιτο. καὶ τῆς γαστρὸς αὐτῶν ἀψάμενος, συστεῖλαι τὸν μέγαν ὄγκον, διαφορήσας τὸ οἴδημα. εἴτε ὥσπερ τὴν Ζακχαίου γαστέρα διωκονόμησεν, εἴτε ὡς τὰς τῶν παρ' Ἰουδαίοις ἀθεραπεύτων ἄλλως ἀρχόντων. οἷς ἐπαφῆκε τοὺς ἀποτόμους ἰατροὺς Ῥωμαίους, τέμνοντάς τε καὶ καίοντας. σοῦ δὲ θέμενος ἄμωμον τὴν ὁδὸν προορῶντος αὐτὸν ἀεὶ ἐκ δεξιῶν, ἵνα μὴ σαλευθῇς, καὶ διὰ τῶν πενήτων, καὶ διὰ τῶν ἄλλως αὐτῷ ἀνακειμένων, μᾶλλον δὲ αὐτὸν εἰκονιζόντων, ὑποδεχομένου γνησίως τε καὶ πλουσίως, καὶ τοῖς ἔργοις τὸ φίλτρον δεικνύοντος, θείη τόξον χαλκοῦν τοὺς βραχίονας. καὶ περιζωννύων σε δύναμιν, διασκορπίσειεν ἔθνη τὰ τοὺς πολέμους θέλοντα. τόξον συντρίβων, καὶ συνθλῶν ὅπλον, καὶ θυρεοὺς κατακαίων ἐν πυρὶ τῷ τῆς σῆς προθυμίας δραστηριότητος ζέοντι. καὶ ἐν τῷ ἐγγίζειν ἐπί σε κακοῦντας, καὶ παρατάσσεσθαι παρεμβολὴν τῶν τοῦ κυρίου ἐχθρῶν, αὐτοὶ ἀσθενήσαιεν. καὶ τῶν διαβουλιῶν αὐτῶν ἐκπέσοιεν. καὶ

καταδιώξοις αὐτοὺς, καὶ καταλάβοις, καὶ ἐκθλίψαις, καὶ ὡς πηλὸν τῶν πλατειῶν λεάναις τοὺς τὴν πλατεῖαν τοῦ ἀθέου Μωάμετ στέρξαντας. καὶ ταῦτά σοι οὐκ ἐπεύχομαι μόνον, ἀλλὰ καὶ πέποιθα ὅτι ἔσονται. οὐ γὰρ ἄδικος ὁ θεός. ὥστε μὴ καὶ ψυχῆς καθαρότητα καὶ χειρῶν γενναιότητα ἐκ περιουσίας προσκληθέντα δοῦναι τὸν τῆς νίκης τὸν στέφανον. ἐγὼ δέ σοι ἤδη καὶ τὸν ἐπινίκιον ἀνακρούσομαι. ἐπάταξε Δαβὶδ ἐν μυριάσιν, ὁ πρᾳότατος τῶν νῦν, καὶ μαχιμότατος. ὁ περιτάξας τὴν τῆς ἐπιθυμίας ἄρκτον, καὶ τὸν τοῦ μωμητοῦ θυμοῦ λέοντα. ἀφ' οὗ τὸ ἔλεος μὴ διασκεδάσῃ, ὁ δικαιοσύνας ἀγαπῶν, καὶ ὁρῶν εὐθύτητας κύριος, ἀεὶ τηρῶν καὶ κακώσεως πάσης ἀνώτερον καὶ κακώσεως.

Τῷ μεγάλῳ δομεστίκῳ, κυρίῳ Ἀδριανῷ.
Ἐπισ. κδ.

Ἐγὼ μὲν καὶ νεκρὸς ἤδη γενόμενος, πανσέβαστε μέγιστέ μου ἀντιλήπτορ, καὶ τοῖς κατωτάτω τοῦ ᾅδου τεθεὶς, παρά σου νῦν ἐξεγείρομαι καὶ ἀποκαθιστῶν τὸ ψυχίδιον, συνάγεις μοι τὰ ὀστᾶ, καὶ συναρμολογεῖς τὴν διάλυσιν, καὶ σάρκας ἀνατρέφεις, καὶ δέρμα περιτείνεις, καὶ γίνῃ μοι ζωοπάροχος. βούλει συνελκύσω τῆς ἀσαφείας τὸ παραπέτασμα, καὶ δείξω σοι τοῦ λόγου τὸ βούλημα. ἐμοὶ τοῦ νῦν βίου τὴν σύγχυσιν βλέποντι, καὶ τὴν ὕβριν τῆς πλεονεξίας, καὶ τὴν ἀναίδειαν, οὕτως ἀπηρυθριασμένως ἐκπορνευσάσης, καὶ μαινομένης τὰ πράγματα. καὶ τοὺς μὲν τὰ δημόσια πράττοντας, πορθητὰς μᾶλλον ἢ φορολόγους. καὶ θείους ὁμοῦ νόμους καὶ βασιλικὰς ἐντολὰς ἀράχνης ἡγουμένους ὑφάσματα, τοῦτο δὴ τὸ τοῦ Ἀναχάρσιδος

πρὸς τὸν Σόλωνα μέγας μὲν κρατοῦντα, σφηξὶ δὲ ῥηγνύ-
μενα. τὰ δὲ τοῦ λαοῦ τῶν Χριστιανῶν ἀγόμενα καὶ φερόμενα
μὴ ὄντος λυτρουμένου μηδὲ σώζοντος. πᾶσα μὲν σω-
τηρίας ἐλπὶς περιῄρητο. τὸ πνεῦμα ψυχῆς συμφορᾶς
ἐμπαγείσης εἰπών τις οὐχ ἁμαρτήσεται. πάντες δὲ λογισ-
μοὶ διελύθησαν, καὶ νεκρωθεὶς ἐκείμην τῇ ἀπογνώσει τῆς
τοῦ κακοῦ διορθώσεως. ὡς δ' ὁ πανευγενέστατός σου γαμ-
βρὸς, τὸ τῆς ἀγαθοθελείας ἔργον, τὸ ἐν ταῖς κοιλάσι τοῦ νῦν
τῶν κακῶν συῤῥοίας κρῖνον, τὸ ἐν ταῖς πάντας κνιζούσαις ἀ-
κάνθαις ῥόδον, ἡ θεόπνευστος ὄντως ψυχὴ, τοῖς ἐγγὺς ἡ-
μῶν πράγμασιν ἐπιστὰς, ξένον ὤφθη μοι θέαμα, ποτα-
μὸς δι' ἅλμης ῥέων γλυκὺς, καὶ ὁδοιπόρος διὰ βορβόρου
ῥέων ἀμόλυντος. ἃ τῶν σῶν πάντως ἐντολῶν ἀποτελέσ-
ματα κατενόησα. ἐνταῦθά μοι τό τε ἀπὸ παντὸς πνεῦμα
τῆς χρηστοτέρας ἐλπίδος εἰσέπλη πάλιν, καὶ ταὐτὰ συνετε-
λέσθη περὶ ἐμὲ, ὅσα τῷ τοῦ Ἰεζεκιὴλ φρικτῆς ἐκείνης ὁρά-
σεως. ἆρά σοι μετρίας ὀφείλω τὰς ἐν εὐχαῖς καὶ ἐπαί-
νοις χάριτας, τῷ ψυχοδότῃ, τῷ ζωογόνῳ. ἢ τοσαύτας
ὅσας, εἰ θέμις εἰπεῖν, κατάρας τοῖς ἀδιορθώτοις ἐχθροῖς
τῆς χρηστότητος, τοῖς ψυχοφθόροις. τοῖς ζωολύταις. ἀλλὰ
γὰρ οἷα πεπόνθαμεν, κρῖνον ἀτεχνῶς ὁ νεανίας, καὶ ῥόδον
ἐπ' ὀλίγον εὐωδιάσας, μᾶλλον δὲ τῷ θεῷ διὰ τῶν πενήτων
εὐώδης γενόμενος, ἥδιον ὀσφρανθέντα τῆς ἀποφορᾶς τῶν
ἔργων αὐτοῦ. ἢ τῆς τοῦ πάλαι Νῶε θυσίας. εἶτα πρὸς τὸν
ὑμέτερον ἀέρα διέβη, μόνην ἡμῖν τὴν μνήμην ἐγκατα-
λιπὼν ἀπαράκλητον. τίς γὰρ τοῦ λοιποῦ τοῖς μὴ κτηματί-
ταις τὰ περιόντα συνάξει, τὸν δ' ἐν τῷ πτώματι τῆς ἀπο-
ρίας πρὸς τὴν τῆς εὐπορίας τάξιν ἀνάξει. τίς ὀρφανοῖς
δώσει μικροῦ καὶ χάριν ὁμολογεῖν τῷ θανάτῳ, δι' ὃν πα-
τέρων ἀσθενῶν στερηθέντες ἀντέλαβον τὸν τηνικαῦτα δυ-
νάμενον.

νάμενοι. τίνος προστάγματα θείας ἀπηχήματα ἀγαθότητος στερίσουσι, χήρας ὀρφανόν. τίνος ὀφθαλμοὶ τοῖς ἀδικουμένοις δάκρυον ἀποστάζοντες τοὺς ἀδικοῦντας πλέον θρηνήσουσιν ὥς γε μειουμένους τὰ μείζονα, καὶ σπεύσει λοιπὸν οὗτος λῦσαι τὰς ζημίας ἀμφοτέροις τοῖς μέρεσι. τῷ μὲν τὴν μείζονα, τῷ δὲ τὴν ἐλάττονα. τίνα καὶ πένης εὑρήσει κατὰ τῶν πλουσίων ἁρπάγων ἔκδικον. καὶ πλούσιος κατὰ πενήτων κακοήθων καὶ συκοφαντῶν σύνδικον. τίνα θεραπευτὴν εὑρήσει τὸ τάγμα τῶν τοῦ θείου θεραπευτῶν, οὐ φιλοκρινοῦντα τὰς ἀξίας, ὃ τοῖς ἀθέοις σπουδάζεται. οἱ πρὸς τὸ μισόθεον αὐτῶν, τῇ ἀτιμίᾳ τῶν τοῦ θεοῦ δούλων ἀναγκαίως συνεκφαινόμενον, ἀπολογίαν πορίζονται τῶν τιμᾶσθαι δικαιουμένων ἀναξιότητι. ἀλλὰ πάντας ὡς αὐτοῦ κρείττονας βλέποντα, καὶ ἁγιασθῆναι διὰ τούτων τῷ τοῦ πνεύματος χρίσματι. καὶ ἔτι τελεῖσθαι τὰ θεῖα, καὶ ἁγιαστικὰ πιστεύοντα. καὶ τοὺς μὴ οὕτω τῆς γνώμης ἔχοντας, ἀμυήτους καὶ ἀτελέστους τιθέμενον, καὶ πάσης ἁγιαστικῆς ἀμετόχους χάριτος. εἰ γὰρ ἁγιαστὴν εἶναι τὸν ἱερέα πιστεύοντες, καὶ ἑαυτοὺς ὑπὸ τούτου ἁγιαζομένους ἐπιγινώσκοντες, ἀνόσιοι λοιπόν εἰσι τὸν ἁγιαστὴν ἀτιμάζοντες, ἢ μὴ τοιοῦτον αὐτὸν νομίζοντες, ἄμοιροι τοῦ κατὰ Χριστὸν ἁγιασμοῦ δείκνυνται. ὁ γὰρ ἁγιαζόμενος ἁγιαστῇ ἁγιάζεται. καὶ τί δεῖ τούτοις πρὸς τὰ Χριστιανῶν εἰσωθίζεσθαι. τίς ὁ καὶ ἰδεῖν οὐχ ὅπως ἐνωτίσασθαι ἄπιστον ἐν τηλικούτῳ ὕψει τῶν ἀναγκαίων στερήσεται, ὡς ἂν μηδὲ γογγύσαιεν Βούλγαροι. ἓν μόνον μέρος ἐλύπησεν ὁ πανσέβαστος, τοὺς αὐτῷ γνησίως δουλεύοντας, ὡς οὐ μόνον κερδῶν στερηθέντας, ἀλλὰ καὶ ἃ προεῖχον ἐκδαπανήσαντας, καὶ κατὰ τὴν παροιμίαν ἄνθρακας εὑρόντας τὸν θησαυρόν, καὶ κατακαέντας ἀπὸ τῶν ἐντρυφῆσαι προσδοκησάντων. μᾶλλον δὲ τ' ἀληθέστερον εἰπεῖν,

εἰπεῖν. οὐδὲ τούτους λελύπηκε, μεῖζον πάντων κερδῶν ἡγησάμενος, καὶ πλούτου περίκτησιν οὐκ ἀπώλειαν, τὴν τῶν τοιούτων ἔργων τοῦ νεανίου μεγαλοπρέπειαν. τοῦτο γὰρ δούλων ἀγαθῶν, πενίαν αἱρεῖσθαι μᾶλλον τὸν δεσπότην ἐν εὐφημίαις πλουτίζουσαν, ἢ πλοῦτον διὰ δυσφημίας πτωχίζοντα. ἀλλὰ τῷ μὲν καλῷ κἀγαθῷ σεβαστῷ φρυκτὸς ὁ τῆς ἀρχῆς τόπος, ὡς τῷ ὄντι τόπος κακώσεως, ἢ σκήνωμα Κηδάρ· ἢ σιδηρᾶ κάμινος. καὶ διὰ τοῦτο πρὸς τὴν ἡμετέραν μακαριότητα μονονουχὶ πτωχοὺς φέρεται. οἱ δὲ τῆς αὐτῆς χρηστότητος ἀπολαύσαντες, πενθοῦντες ἑαυτοὺς, ὡς βαρυτέρως ἢ πρόσθεν πειρασμένους τῶν δυσχερῶν. τὸ γὰρ κακὸν μετὰ τὴν τοῦ ἀγαθοῦ πεῖραν κάκιον. σοὶ, καὶ τοῖς σοῖς, ὡς οὕτω διδάσκουσι, καὶ οὕτω διδασκομένοις, παντὸς ἀγαθοῦ ἐπιρροίαν παρὰ κυρίου ἐπεύχονται· ὧν αὐτὸς τὰ πρῶτα τάττεσθαι οὐκ αἰσχύνομαι. καὶ δοίη θεὸς ὑμῖν τε αὐτοῖς, καὶ τοῖς ἡμετέροις, καὶ τοῖς περὶ ἡμᾶς, ἐν τῷ ἀγαθῷ τελείωσιν, εὐξίαν, εὔροιαν, πάσης ἁπλῶς τηρῶν ἀνώτερον κακώσεως καὶ κακώσεως.

Τῷ Σεβαστῷ, τῷ Πακουριανῷ.

Ἐπιστ. κέ.

Καὶ κύριος παρεβίβασε τὸ ἁμάρτημά σου, ἄλλως τε μηδὲ τηλικοῦτον ὂν, ἡλίκον ἀεὶ πρὸ τῶν ἐκείνου ὀφθαλμῶν ἵστασθαι. ἐγὼ δέ σου καὶ τοῦτο ἄγαμαι πανσέβαστέ μου υἱέ, ὅτι καὶ τοὺς τῶν ἁμαρτημάτων κώνωπας ὡς καμήλους ὁρᾷς, ἐναντίως ἢ παρὰ τῆς θείας γλώττης οἱ Φαρισαῖοι κατωνειδίζοντο. καὶ τὸ ἐν τῷ ὀφθαλμῷ κάρφος ὡς βαρεῖαν δοκὸν λελόγισαι. ὃ μεγάλην κρηπῖδα τῆς ἀρετῆς ὁ καθ' ἡμᾶς λόγος τίθεται. εἴπερ ἀρχὴν εἶναι

εἶναι σωτηρίας τὴν ἑαυτοῦ τινὸς κατάγνωσιν πεπιστεύκαμεν. καὶ βάλλ' οὕτως, αἴ κέν τι φάος μερόπεσσι γένοιο. καὶ μή σε τῆς ἀγαθοθελείας παρακινήσῃ τι τῶν ἐκ τοῦ κόσμου, οἷς οἱ κουφότεροι πειθόμεθα. τοῦτο πεπεισμένον ἀμεταστάτως. ὡς ἁπλῶς μὲν αἰσχύνη Χριστιανοὺς νομοθετεῖσθαι. παρὰ τοῦ μηδένα λυπεῖν αἱρεῖσθαι. τοῦτο γὰρ καὶ τῆς φύσεως ἔνταλμα. ἣν ὑπερβαίνειν ὁ τοῦ εὐαγγελίου μαθητὴς ἐπιτάττεται. ὁ μὲν γὰρ νόμος, ἀπὸ τοῦ παρὰ φύσιν εἰς τὴν φύσιν ἀποκαθίστησι τὸν ἄνθρωπον. ὁ δὲ τοῦ θεοῦ λόγος, καὶ ὑπὲρ τὴν φύσιν σὺν αὐτῷ πειθομένους τίθησι. τοῦτο γὰρ δὴ τῆς πρὸς τὴν φύσιν ἑνώσεως αὐτοῦ κατόρθωμα, καὶ ἐκνίκημα. πλὴν ἀλλ' ἡ τῶν πολλῶν θηριωδῶν τοῖς ἱμεγμένοις ἐπιλυττώντων, ἀπαιτεῖσθαι νῦν τοῦτο σὺν χρηστοτέρους ὡς μεγάλην σωτέλξαι παρεσκεύασε. τὸ μηδενὶ λύπην ἐθέλειν λέγω. ἀλλά σέ τοι ἀξιοῦμεν καὶ πᾶσι τὰ ἀγαθὰ διαρκῶς συμβουλεύεσθαι, οὕτω τε τὴν ἑνότητα τῆς πίστεως ἐν τῷ συνδέσμῳ τῆς ἀγάπης τηρεῖν. ὡς τό γε δάκνειν ἀλλήλους καὶ κατεσθίειν οὔτε τῆς φύσεως ὅλως, οὔτε πολλοῦ δὴ τῆς πίστεως. οὕτω γὰρ ἐπὶ σεαυτὸν καὶ δαψιλέστερον ἑλκύσεις τὰς τοῦ ἀγαθοῦ θεοῦ χάριτας. ὑφ' οὗ τηροῖο πάσης κακιώσεως ἀνώτερος καὶ κακώσεως.

Τῷ Ταρωνίτῃ, κυρίῳ Γρηγορίῳ.
Ἐπισ. κϛʹ.

Καὶ πόθεν ἂν καὶ ποίας ἀποτίσαιμί σοι τὰς χάριτας, μεγαλεπιφανέστατέ μοι ἐν κυρίῳ υἱὲ καὶ αὐθέντα, ὅτι με πάντων ἀνθρώπων ἀληθέστατον δεικνύεις ἑκάστοτε. καί μοι σὺν

ἐπαίνους, οἷς ἀποσεμνύνεσθαι δοκῶ σε, μᾶλλον ἀποσεμνύνεις αὐτούς, ἀποφαίνων τούτους, οὐ ῥήτορος σοφιστικὰ κολακεύματα, ἀλλὰ καὶ πνεύματος συνῳδὰ μὲν οὐ τοῖς ὄντως καλοῖς σκιρτήματα, καὶ στόματος εὐφημεῖν εἰδότος ἀρετὴν ἄσματα. ἰδοὺ γὰρ ἅπερ ἠγγέλη μοι περὶ Βραχίων, πόσου τιμήσαιντ' ἂν ἀκοαὶ φιλάληθοί τε καὶ ἄφθονοι; ἐνὶ γὰρ τροπαίῳ δυοῖν ἐθνῶν ὀφρύας κατέσπασας. καὶ τῷ τῆς Περσικῆς ἀπονοίας πύργῳ συγκαθεῖλες τὸ τῆς Φραγγικῆς ἀπονοίας ὕψωμα, καὶ Φινεὲς ἐδείχθης νέος ἡμῖν τῷ δυνατῷ σου σειρομάστῃ δύο συνεκκεντήσας ἤδη παρὰ κυρίῳ ἀκάθαρτα. ὅτι γὰρ τὰ Νεσμὰν φορολογεῖν εἰωθὼς, τάς τε ἄλλας περὶ τὸν Πόντον Ἑλληνίδος πόλεις ἐντὸς Τανάϊδος ποταμοῦ καὶ λίμνης Μαιώτιδος, καὶ δὴ τὴν τῶν Κόλχων προκαθημένην, καὶ αὐτῷ γε ὁριζομένην τῷ Φάσιδι, ἀλλὰ μὴν καὶ τὴν τῆς μικρᾶς Ἀρμενίας ὑπερκειμένην ὑφ' ὑψηλοῦ κολωνοῦ, καὶ αὐτήν γε σύμπασαν Ἀρμενίαν. Μαριανδηνοὺς γὰρ καὶ Γαλάτας, καὶ τοὺς ὁμόρους τούτοις Καππαδόκας, παρίημι. καὶ παχὺς ἤδη καὶ βαρὺς ταῖς φορολογίαις γενόμενος, ἐξεκόπη τὰς φορολόγους χεῖρας τῇ τοῦ ξίφους ἀκμῇ, καὶ φορολογεῖσθαι μᾶλλον μετέμαθε. τάς τε ἐκδρομὰς συσταλεὶς, ἃς ληστῶν ἀπεθρασύνετο. καὶ τῶν ἐνέδρων ἀπογνοὺς, ἃς ἐκδηλᾶν τῷ Τάρωνι μᾶλλον ἢ πόλις ἐπάνω ὄρους κειμένη. πρὸς δὲ τοὺς συνεστάδην πολέμους ξηρόχειρα διαγνοὺς ἑαυτὸν ἢ ἄχειρα, καὶ πόλεις δὲ ἤδη μυριάνδρους, ἃς αὐτὸς μόλις εἷλε, τάχιον ἢ λόγος ἀποβαλὼν οὕτω τῆς τύχης ὁ κύβος αὐτῷ πρὸς τὸ βαρυσυμφορώτατον μεταπέπτωκε. μᾶλλον δὲ τὰ τοῦ θεοῦ ζυγά. τὴν πλάστιγγα τῆς σῶν ἀρετῶν βαρυτέραν αὐτοῦ ἐπέκλινεν οὐχ ἧττον ἢ τὰς τῶν ἐντρυφηθέντων αὐτῷ παρὰ τῆς ἀρχῆς. ἐντεῦθεν καὶ πέπρακται.

μή.

μὴ μῦθον εἶναι τὰ πάλαι Ῥωμαίων ὑμνούμενα τρόπαια. μᾶλλον δὲ καὶ τῆς ἀληθείας ἐλάττω τὰ περὶ ἐκείνων λεγόμενα. ἐν σοὶ δὲ ἐρῶ τὴν ἀλήθειαν. ἐρῶ δὲ, ὅτι καὶ τοσοῦτον ὑπερέχειν ἐκείνων ἡγεῖταί σε, ὅσον ἐξ ἐνδεεστέρων τῶν παρασκευῶν ὡρμημένος ἀντισηκοῖς ἐκείνοις σαυτόν. οὕτω μεγαλοδύναμον οἶδας τὴν σὴν ῥοπὴν τῶν πραγμάτων ἐνδέοντι. καὶ βούλεται μὲν σε μηδ' ἂν ὅλως γενέσθαι. θαυμάζει δὲ ὡς καλὸν γενόμενον. καὶ καταρᾶται μὲν τῇ σῇ γενέσει, εὐδαιμονίζει δὲ σοῦ γεννησαμένους. καὶ σοὶ μὲν ἀτεχνίαν κατεύχεται, ὥστε περιγραφῆναι τὸ σὸν μὲν γένος ἐν σοί. ἑαυτῷ δὲ γενέσθαι τοιούτων παίδων ἐπεύχεται, καὶ νῦν πρώτως αἰσθάνεται δυστυχῶς ἐπὶ τοσοῦτον τῆς περὶ σοῦ εὐτυχίαις ἀρθείς, ἵνα καὶ πλεῖον ἀλγήσῃ πλειόνων ἀποστερούμενος. ἓν μόνον εἰς παράκλησιν ἔχει τὸ παρὰ τοῦ γενναιοτάτου Ῥωμαίων τὰ τοιαῦτα παθεῖν. ἐπεὶ καὶ φιλεῖ δοξάζεσθαι τὸν νικώμενον τῇ τῶν νικώντων μεγαλειότητι. καὶ εἰ παρῆν Ὅμηρος, εἶπεν ἂν καὶ νῦν ἐφ' ὑμῖν.

Πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων.

Εὔελπις ἔσο καὶ σὺ πόλεων καλλίστη Νεοκαισάρεια. οὐκ εἰς μακρὰν ἕξειν τὸν ἐλευθερωτήν σοι Γρηγόριον. οὐκ ἀήθης εἶ τοῦ παρὰ Γρηγορίων εὐεργετεῖσθαι. καὶ τὸ γῆρας ἀποξυσαμένη τῆς νῦν κακότητος, φανήσῃ ὄντως Νεοκαισάρεια. ἔχεις ἀρραβῶνας τὰς γείτονας. προσεύχου τὸν καλὸν νυμφίον τῇ ἐπὶ σοὶ νίκῃ συναφθησόμενόν, καὶ στεφανωθησόμενον στεφάνῳ τῷ ἐκ λίθου τιμίου. Χερσὸς γὰρ ἐστὶ τῷ Ταρωνίτῃ τὰ τρόπαια. ἀλλ' ὁ μὲν ἀθεώτατος Τρακας διά σε κάτω νεύει. καὶ τὰ ἐν ποσὶ μόνα βλέπει, ὁ πανταχόσε χθὲς περιάγων τὰς σοβαρὰς κόρας τῶν ὀφθαλμῶν, καὶ περινοῶν ἐξαλείφειν γῆν ὁμοῦ τι πᾶσαν καὶ θά-

λάσαι. τοῦτ' ἄρα καὶ πρὸς τοὺς συμβατηρίους λόγους ὡς μόνους ἐπικούρους σωτηρίας ὁρᾷ. καὶ τὰς χεῖρας οὐκ ἔτι πρὸς ξιφουλκίαν, ἀλλὰ πρὸς τὰς πίστεις ἐκτείνει. καὶ τὸ τόξον ἀνεὶς, ἀναλαμβάνει κηρύκειον. καὶ φίλον χρεὼν ἐπιθυμεῖ βέβαιον, ὃν ἐχθρὸν ἔχων εὗρεν ἄμαχον. ὁ δὲ Φράγγος, ὁ τὸν τράχηλον πρώην σιδήρεος, κηροῦ χλιαροῦ φανεὶς μαλακώτερος, ἐκ περιουσίας σε προσκυνεῖ, καὶ διά σου τὸν κράτιστον ἡμῶν βασιλέα. τί δὲ οὐ μέλλει, ὁρῶν προσκυνοῦντα τὸν αὐτῷ προσκυνούμενον. καὶ τὸν δεσμοῦντα δεσμοῖς ἀρρηκτοτέροις ἐχόμενον τοῖς Ταρωνιτείοις θελήμασι. καὶ οὕτω τυραννούμενον ὑπὸ τούτων, ὥστε καὶ τῶν βασιλέων τὴν αὐτοῦ χαρίζεσθαι λύτρωσιν. καὶ πάλαι μὲν ταύτην σπουδάζοντι, καὶ πρᾶγμα τιθεμένῳ τοῦ παντὸς ἄξιον, δοῦλον χρεὼν ὠνητὸν, τὸν πάσης ἑῴας ἐλευθερωτὴν εἶναι ποιούμενον, καὶ οὕτω τοῖς μακροῖς τοῖς ὀνειρώγμασιν ἐμπλανώμενον, ὡς μηδὲ τὰ δευτερεῖα τῆς βασιλείου τιμῆς ἀνέχεσθαι. σὲ δὲ μόνον τοῦ σπουδαζομένου πρόξενον εὐτυχήσαντα. ταῖς σαῖς γὰρ ἐκβιασθεὶς ὁ Τοῦρκος χερσὶ, τὰς ἀνοχὰς καὶ ἄκων συνέθετο, ἐπί τε ἄλλαις ὁμολογίαις, καὶ τῷ τὸν Φράγγον ἀποδόσθαι πρὸς τὸν ἀήττητον ἡμῶν αὐτῶν αὐτοκράτορα. ἐπὶ τούτοις ὀφείλω μὲν καὶ ἄλλως ἐγώ σοι χάριτας. οὐ γὰρ μόνον ὡς ἀληθὴς ὑπό σου δεικνύμενος προείρηται, ἀλλὰ καὶ ὡς κοινῇ τῶν κοινῶν ἀπολαύων. ὀφείλουσι δέ σοι καὶ πάντες ὅσοι τὸ Χριστοῦ φέρουσιν ὄνομα, καὶ τῇ Ῥωμαίων ἀρχῇ τἀγαθὰ συμβουλεύονται καὶ συνεύχονται. περὶ γὰρ τοῦ παναγάθου βασιλέως ἡμῶν τί δεῖ καὶ λέγειν, ὅπως τὴν σὴν ἀξίως ἀμείψεται καὶ εὐβουλίαν καὶ γενναιότητα, ὅς σε προκριθεὶς ἁπάντων ἀεί. καὶ τίς γὰρ βασιλέων περὶ τὸ κρίνειν ἄνδρας τούτου δεξιώτερος.

τις γέγονε; τοῖς μάλιστα δεομένοις ἐπιστασίας δραστι-
κωτέρας δίδωσι πράγμασιν, οἷόν τινα τεχνικώτατον ἰα-
τρὸν δεινοῖς ἀντιτάττων νοσήμασι, καὶ κυβερνήτην ἀνθι-
στῶν κλύδωνι. ἀλλὰ γὰρ οἷον τὸ τῆς ἐπιστολῆς χρῆμα
χαλινός ἐστιν ἀτεχνῶς κατέχων στόμα ῥητορικὸν, καὶ μὴ
συγχωρῶν ἐγκροαίνειν ἀγαθοῖς ἔργοις μακρότερα. ὑφ᾽ οὗ
κἀγὼ τὴν πρὸς τὸ πλεῖον λέγειν προθυμίαν ἀναστειρά-
ζομαι. ὡς εἴ γέ μοι παρῆν ἀνέτως λέγειν, ἔδραμον ἄν σοι
δρόμους τοὺς λογικούς, τοῦ μὲν ἅρματός σου τῶν ἀρε-
τῶν οἱ δ᾽ ὅσον εἰπεῖν ἐστὶν ὑστερίζοντας. πλέον γὰρ σοι τοῦ-
το ἐλαύνει). ὃ δ᾽ οὖν εἰς ἡμᾶς ἧκον ἱκανῶς ἔχοντας, καὶ
οὐκ ἀξίους ἴσως τῷ θεάτρῳ τοῦ λόγου συντελέσαι. τοῦτο
μόνον εἰπὼν καὶ δὴ παύσομαι· αἶρε σοῦ τοὺς ὀφθαλμοὺς
εἰς τὰ ὄρη, ὅθεν ἥκει σοι ἡ βοήθεια, καὶ ἥξει ἔτι καὶ ἐπι-
βάλῃς τοὺς σοὺς κάτω. μὴ τρέψῃς πρὸς ἑαυτόν. οὐ γὰρ
ἀνθρωπίνης ἰσχύος τὰ τηλικαῦτα. οὐ μόνον ἀλλὰ τὸ πᾶν
ἢ τὸ πλεῖον τῆς θείας χάριτος. καὶ ἐν τῷ θεῷ ποιεῖς
δύναμιν, τῷ τοὺς σοὺς πολεμίους συντρίβοντι. ἣν ταυτῷ ἐμ-
βεβαιώσεις, ἢ καὶ πλείονα ἐπισπάσῃ, εὐγνώμων τῷ χα-
ριτοῦντι γινόμενος. γίνοιο δ᾽ ἄν, εἰ πρὸς αὐτὸν διὰ
τῆς ἀγαθότητος εἰκονίζοιο, ἐκχεομένης καὶ πλουσίοις καὶ
πένησι, τοῖς ἱερώτερον ζῶσι καὶ τοῖς κοινότερον, εἴτουν θειό-
τερον καὶ ἀνθρωπικώτερον, καθ᾽ ὅσον ἕκαστοι ταύτης χρή-
ζουσι. δι᾽ ἣν καὶ ῥυσθείης τῶν πονηρῶν καὶ τοῦ πονηροῦ, ὡς μήτε
κακοῖο, μήτι κακωίοιο.

Τῷ τῆς Χαλκηδόνος, κυρίῳ Μιχαήλ.

Ἐπιστ. κζ.

Ἕως μὲν μόνα τὰ χρηματικὰ τῶν ἐκκλησιῶν διηρ-
πάζοντο, τιμιώτατε ἀδελφὲ καὶ δέσποτα, ἠχθόμεθα
μὲν, πλὴν ἀλλὰ τὸ ἄχθος ἡμῖν ἐπίρρωθι ἐκουφίζετο,
ὁρῶσι τὰ πνευματικώτερα μὴ λυόμενα, κἀντεῦθεν πα-
ρακαλουμένοις τὰ μέγιστα. νυνὶ δὲ καὶ τούτων ἡμῖν λυομέ-
νων, οἴχεται πᾶσα παράκλησις. ὅταν γὰρ οἱ μὲν θεῖοι καὶ
ἱεροὶ κανόνες οὐδὲν ἄλλο περὶ πλείονος ἐποιήσαντο τοῦ τὰς
ἑκάστων ἐνορίας ἀκαινοτομήτους φυλάττεσθαι, καὶ μὴ τύ-
φον κοσμικῆς ἐξουσίας τοῖς τοῦ πνεύματος παρεισδύεσθαι.
οἱ δὲ τούτοις καὶ τοῖς ἄλλοις διαγγέλλειν διδαχθέντες, καὶ
τοὺς σφαλλομένους ἐπανορθοῦσθαι, οἱ δέ γε τούτους μάλιστα
πάντων τὴν πρὸς αὐτοὺς ἀνηκοΐαν τρέφουσι καὶ ἀδρύνουσι,
καὶ πρὸς ἀλλοτρίας ἐνορίας εἰσωθιζόμενοι πάντα φύ-
ρουσι καὶ θεῖα καὶ ἀνθρώπινα δίκαια, οὐκ οἶδα ποίαν ἄλ-
λην παράκλησιν ἕξομεν, ἢ μόνην τινὰ τῶν γινομένων κα-
κῶς διόρθωσιν. πρὸς ἣν καὶ τὸν ἡμέτερον ζῆλον οὐ μικρὸν
ἡμῖν εἰσοίσειν ἡμῖν πιστεύοντες τὴν συντέλειαν, γνωρίζο-
μεν τῇ σῇ ἱερότητι τὸ παρὰ κανόνας γινόμενον κατὰ Κίτλαβα.
ἀλλ' ὅπως μή μοι γελάσῃς πρὸς τὸ βάρβαρον ὄνομα.
ἐνορία τίς ἐστι, τῇ καθ' ἡμῶν ἀρχιεπισκοπῇ διαφέρου-
σα, ἐν ᾗ τῶν τις μοναχῶν ἀνεγείρων οἶκον εὐκτήριον, ἐκω-
λύθη παρ' ἡμῶν, ὡς παρὰ γνώμην ἡμετέραν τοῦ ἔργου ἀρ-
ξάμενος, καὶ μήτε τοῖς κανόσι, μήτε τοῖς τῆς πολιτείας νό-
μοις ἐγνωσμένα ποιῶν. ὁ δὲ σταυροπήγιον πατριαρχικὸν
λαβὼν ἔφησε καὶ οὕτω τοῦ ἔργου ἄρξασθαι. ἐκεῖνος μὲν οὖν
ἀκοινωνησίας παρ' ἡμῶν ἐνεδέθη δεσμοῖς, τὰ τοῖς κανό-
σιν, ὡς οἶσθα, διωρισμένα ἐπιβαλόντων αὐτῷ. ἡμεῖς δὲ οὐ
περὶ

περὶ ἐλαχίστου τὸ πρᾶγμα τιθέμενοι, καὶ τῷ τιμιωτάτῳ
μὲν χαρτοφύλακι, κυρίῳ Πέτρῳ, περὶ τούτου ἐγράψα-
μεν, ὅσα τὸ μέτρον τῆς ἐπιστολῆς ἐνεδίδου· καὶ τῇ σῇ δὲ φι-
λοθέῳ, καὶ διὰ τοῦτο φιλοκάνονι, ἁγιότητι γράφομεν, ὡς
ἂν καὶ αὐτὸς περὶ τούτου τῷ ἀνδρὶ ὁμιλήσῃς. εἰδότι μὲν οὐδε-
νὸς ἧττον ἃ τοῖς κανόσι διώρισται, καὶ ἥτις ἐπίκειται ποινὴ
τοῖς ταῦτα παραλύειν ἐθέλουσι. πλὴν οὐκ οἶδ' ὅπως συγ-
χωροῦντι τοιαῦτα γίνεσθαι, ὑφ' ὧν πᾶσα εὐταξία καὶ εἰ-
ρήνη τῶν ἐκκλησιῶν ἀπελαύνεται, καὶ τὸ αἷμα τοῦ Χριστοῦ
χυθὲν, ἵνα εἰρηνοποιήσῃ τὰ πάντα, κενὸν ἀποδείκνυται. τίς
γὰρ ἐν Βουλγάροις μετουσία τῷ Κωνσταντινουπόλεως Πα-
τριάρχῃ, μήτε χειροτονίας ἐπ' αὐτῇ δίκαια ἔχοντι, λα-
χούσῃ τὸν ἀρχιεπίσκοπον αὐτοκέφαλον, μήτ' ἄλλό τι
διαδεξαμένῳ κατὰ ταύτης προνόμιον. διὰ τίνος δὲ καὶ τὰ
σφάλματα τῶν μοναχῶν τῆς κατὰ γνώμην αὐτοῦ συστάσης
μονῆς τηρηθήσεται καὶ διορθωθήσεται. διὰ τοῦ τὰ τῶν ὑποκει-
μένων αὐτοῦ ἄλλων μοναχῶν ἐπικρατοῦντος, καὶ διευθύ-
νοντος, ὃν ἔξαρχον ὀνομάζομεν. καὶ ποῖος οὕτω Κρονίων
ὄζων κεκεσέληνος ἱερεὺς τὸ τοῦ Κωμικοῦ ἐν Τραγικαῖς πά-
θεσιν, ὃς Κωνσταντινουπολίτου παρουσίαν ἐξάρχου ἐν Βουλ-
γάροις μετρίως οἴσει, καὶ οὐχ ὡς μοιχῷ τῷ χρήσεται, μεστὸν ζή-
λου θυμὸν, ὅ φησι Σολομῶν, ἐνδεικνύμενος. ἐγὼ μὲν οὖν
οὐκ οἶμαι. τίς δ' ἂν ἄλλος καὶ πρὸς αὐτὴν τὴν ἀπαγ-
γελίαν οὐ δυσχεραίνοι τοῦ ἀνομήματος, εὐσεβείας γοῦν
ἐμπεριπατούσης ἡμῖν, καὶ κανόνων δοκούντων ἐμπνεῖν ἔτι τῷ
καθ' ἡμᾶς πολιτεύματι. εἰ μὲν οὖν καὶ τὸ ἡμέτερον γράμ-
μα καὶ ὁ σὸς λόγος, τὸ σπουδαζόμενον ἐξανύσειε, χάρις
μὲν τῷ τῆς εὐταξίας καὶ εἰρήνης θεῷ· χάρις δὲ καὶ τῇ ὑμε-
τέρᾳ ἀγάπῃ, ἧς καὶ αὐτοῦ καὶ αὐτὸς θεὸς εἶναι λέγεται καὶ
πιστεύεται. εἰ δὲ κωφεύσαιεν πρὸς ταῦτα οἱ δυνάμενοι τὰ κα-

κῶς,

κῶς γινόμενα διορθώσασθαι, ἀνάγκη καὶ κοινότερον ἐκβοῆσαι, καὶ πρὸς πλείους ἐκλαλῆσαι τὸ ἄλγημα. εἰ γέ τινες εὑρεθεῖεν οἱ τοῦτο ἰάσασθαι βουλησόμενοί τε καὶ δυνησόμενοι· πλὴν ἀλλ' εὔχου ἡμῖν τὸ ἀπραγμονέστερον καὶ εἰρηνικώτερον. οὐ πώποτε γὰρ, οὔτε αὐτοὶ πράγματα ἔχειν, οὔτε ἄλλοις παρέχειν ἐπεθυμήσαμεν. ὃ καὶ νῦν ἡμῖν προσείη ταῖς σαῖς εὐχαῖς, πανίερε δέσποτα.

Τῷ χαρτοφύλακι, κυρίῳ Νικήτᾳ.

Ἐπιστ. κη.

Διαπλάσσει τις φήμη περὶ ὑμῶν, ἅγιε πάτερ καὶ δέσποτα, οὐ μετρίως τὴν ἡμῶν ἀσθένειαν συνεκλόνησε. εἰ γὰρ καὶ τῇ ἡμετέρᾳ στερρότητι τῆς πέτρας ἀσφαλῶς ἐχομένων, οὐδὲν ἱκανὸν ὥστε μικρὸν γοῦν ἐμποιῆσαι κλόνον. πλὴν γὰρ οἵ γε μᾶλλον ὑπόθεσιν τὰ τοιαῦτα, τοῦ στερεώτεροι καθίστασθαι, τίθεσθε. ἀλλά γε ἡμεῖς τοῖς τυχοῦσι δονούμεθα, σαθροτέραν πάντως τὴν οἰκοδομὴν ἐργασάμενοι. ἡ δὲ φήμη, ὅτι πονηροὶ καὶ γόητες ἄνθρωποι, τῷ πατρὶ τοῦ ψεύδους ὑπηρετούμενοι, τῷ τῶν βασιλέων ὕψει περὶ ὑμῶν ἀξίας αὐτῶν ἐρυγὰς ἀνέπεμψαν, καὶ ἀεὶ τὸν ἐν ταῖς καρδίαις αὐτῶν ἀναφύροντες βόρβορον, τὴν δυσωδίαν παχύνουσιν. ὥστε ἤδη καὶ τοὺς βασιλεῖς ἀηδίζεσθαι, καί τοι ἄλλως ἡδομένους ὑμῖν, ὡς Χριστοῦ ἀληθεῖ εὐωδίᾳ. ἀξιῶ τοίνυν δηλωθῆναί μοι περὶ τῆς σῆς ἁγιωσύνης, εἰ κατὰ τὴν φήμην ταύτην τὰ πράγματα· περιττὸν μὲν οὖν οἶδα τοῦτο κρινούσης καὶ μᾶλλον ὀχλοῦν, ἢ τῶν διαβαλλόντων οἱ λόγοι. ἐμοὶ δ' οὖν ἀναγκαῖον ὄν, οὐ περὶ τῇ σῇ τιμιότητι δεδοικότι, περὶ δὲ τῇ ἐμῇ ἀθλιότητι. εἰς ἐν ταῖς νῦν τῶν θλίψεων ἡμέραις μετὰ πάντων σχεδόν τι Χριστιανῶν τὴν ἐκ

τῶν

τῶν σῶν λόγων δρόσον λαμβάνων, ἅμα καὶ παράκλητόν σε τίθεμαι μετὰ τὸν πρῶτον παράκλητον. ἀλλὰ τοὺς μὲν κατὰ σοῦ θέντας μίσος ἀντὶ τῆς ἀγαπήσεως, καὶ ἐνδιαβάλλοντας ἀγαθωσύνην, καταδιώκοιτο. ὁ τῆς ἀληθείας διορθώσαιτο κύριος. σὺ δὲ τηρηθείης ἡμῖν καὶ ἄλλοις, καὶ φῶς, καὶ ζύμη. καὶ ἀπολάβοιμεν σου πρὸς ὅπερ ἕκαστος χρήζομεν.

Τῷ μαθητῇ αὐτοῦ Νικήτᾳ, διακόνῳ τῷ τοῦ Χαλκηδόνος. Ἐπισ. κθʹ.

ΤΟν Ἀντίλοχον οἶσθα, ὦ παῖ ἱερώτατε, τοῦ πατρὸς ὑπερκινδυνεύσαντα Νέστορος, ὅτε πρὸς τὰς ἐκείνου τὴν τοῦ Αἰθίοπος λόγχην αὐτὸς ἐδέξατο. ἐγὼ δέ σε οὐ πρὸς κινδύνους ὁ σὸς καλῶ πατὴρ, ἀλλὰ πρὸς διακονίαν ἀκίνδυνον. ἀποδειλιάσεις οὖν, καὶ ἀπαγορεύσεις τὴν οὕτω ῥαδίαν βοήθειαν. ἀλλ᾽ οὕτω γ᾽ ἂν καταισχύναις καὶ τὰς ὠδῖνας τοῦ λόγου, καὶ τὴν ἀπότεξιν, καὶ τὴν μαίευσιν, καὶ θρέψιν ἐκείνην ὅσην τε ἐν γάλαξι, καὶ ὅσην ἐν στερεωτέραις τροφαῖς ἐποιήσατο. ἀλλὰ μὲν τοῦτο οὐκ ἔσται. τοιγαροῦν οὐδὲ τὸ ἡγούμενον. τίς οὖν ἡ βοήθεια, ἣν ὁ γλυκύς σε πράκτωρ λόγος εἰσπράττεται; πρὸς τὴν ἡγιασμένην αὐθεντείαν, τὴν μητέρα τῆς ἁγίας δεσποίνης, γράμμα μοι ἐκτέθειται. οὐ μᾶλλον ἡμῖν ἢ αὐτῇ σωτικεῖν, ὦ φίλε. ἀξιοῖ γὰρ καινόσι βοηθῆσαι ταύτην ὑπὸ τοῦ πανσεβάστου αὐτῆς υἱοῦ τοῦ πρωτοστράτορος θλιβομένοις. μᾶλλον δὲ ἐκείνῳ αὐτῷ βοηθῆσαι τῷ θλίβοντι. τοῖς μὲν γὰρ οὐδὲν δεινὸν τὸ πιέζεσθαι, θεῖον γάρ εἰσι χρῆμα. κἀκείνου θέσπισμα, καὶ ἀποστομάτισμα οὗ τὴν δύναμιν ἐν ἀσθενείᾳ τελειοῦσθαι πιστεύομεν. ἐκείνῳ δὲ, πολὺς καὶ βαρὺς ὁ κίνδυνος. καὶ

ὅσος καὶ οἷος τοῖς θεοῦ διαταγαῖς λύουσιν. εἴ τι γοῦν ὡς ὑπὸ θεοῦ συμμαχοῦσι, οὐ νόμοι ἐπηρεάζονται. εἴ τι ὡς οἰκεῖον ἴδιον τοῦ οὐ ἐπηρεάζειν ἐπηρείας ἐκλύουσι. πάντως δὲ κερδαίνει τὰ μέγιστα. τοῦτο δὲ τὸ γράμμα δικαιοῦμεν ἐμφανισθῆναι διά σου τῇ τοῦ θεοῦ δούλῃ, καὶ κοινῇ κυρίᾳ ἡμῶν. ἐπεὶ δὲ καὶ πρὸς τὴν πανσέβαστον πρωτοστράτορα περὶ τῆς αὐτῆς ὑποθέσεως ἔγραψα, καὶ τὸ πρὸς τοῦτον γράμμα ταύτῃ ἐμφανισθήτω. ὡς ἂν δι' αὐτῆς ἐκείνῳ δοθῇ. καὶ τοῦτο γὰρ ἀξιοῦμεν τὴν ὁσιωτάτην γυναικῶν ἐν τῷ πρὸς αὐτὴν γράμματι τὸ τῆς διακονίας ἐπίταγμα, πάσης ἀπηλλαγμένον βαρύτητος, καὶ πατρὶ προσῆκον ὄντως φειδομένῳ παιδὸς δυνάμεως, τοῦτό μοι τὸ πλέον. καὶ πᾶν ἀπέχω τὸ ὀφειλόμενον. αὐτὸς μὲν οὖν καὶ μείζω καὶ κρείττω δύναιο, ἡμεῖς δὲ καὶ τῶν δοκούντων μικρῶν καὶ διαφέρων πειρασμῶν ἐκτὸς εἴημεν, ὡς ἂν μηδὲ τοὐλάχιστον μήτ' ἄλλοις μήθ' ὑμῖν ἐνοχλοίημεν.

Τῷ μεγάλῳ δομεστίκῳ, κυρίῳ Ἀδριανῷ,
τῷ ἀδελφῷ τοῦ βασιλέως.
Ἐπιστ. λ'.

Τίς εἰμὶ ἐγὼ, κύριέ μου, κύριε, ὅτι ἠγάπησάς με ἕως τούτων. ἵνα πρός σε νῦν ἃ Δαβίδ ποτε πρὸς θεὸν, φθέγξωμαι. τί μοι τηλικοῦτον ἀνετίθης φορτίον, καπαγότι πᾶσαν τὴν φορταγωγὸν δύναμιν. τοῦτο γὰρ αἱ κίονες ἄντικρυς αἱ οὐρανὸν εὐρὺν ἔχουσιν, ἐφ' ἃς τοῦ Ἄτλαντος δεῖ δυνάμεως. ἐμὲ διασχεῖν κελεύεις τὰς νεφέλας τοῦ προφητικοῦ γράμματος, καὶ γυμνὸν παραδεικνύναι τὸν ἥλιον. ἐμοὶ δὲ τίς ἀποφυσήσει τὴν τῶν πραγμάτων νεφέλην, ἣν αἱ τῶν συκοφαντῶν ἀναφοραὶ παχεῖαν
ἀνέθρε-

ἀνέθρεψαν ἐνθυμιωτῷ καθ' ἡμᾶς ἡλίῳ. ὅστις ποτὲ οὗτος ὁ ἥλιος. ὃς καλὸς μὲν ὡς νυμφίος, εὐμεγέθης δὲ ὡς γίγας, καὶ πάντα τῇ καύσει καὶ τῇ θάλψει ζωογονῶν καὶ νικῶν. δέον ἐκτήκειν ταύτας, ὡς μηδὲ, εἰ γένοιντο, φαίνεσθαι. ὁ δὲ παχύνει καὶ εἰς νεφελῶν σύστασιν. τυχὸν μὲν κατὰ λόγον. ὡς δὲ τοῖς πολλοῖς δοκεῖ, παρὰ λόγον. οὔπω γὰρ ἐκ τῶν προτέρων αἰθρίαν ἔχομεν, αὖθις σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαής, ὀρώρει δ' οὐρανόθεν νύξ, ὅ μοι καὶ πλείους καὶ πικροτέρας τὰς ἀκίδας τῆς ἀθυμίας ἐμπήγνυσιν. ὅταν ἄνωθεν ἔχω τὴν νύκτα, ὅθεν φῶς ἐπήλπισα. ἀλλὰ γὰρ ἵνα καὶ αὐτὸς συνιστῶ νεφέλας τῇ ἀσαφείᾳ, καὶ σκιάζω τοῦ λόγου τὸν ἥλιον, οἱ χθὲς καὶ πρώην μοι ἐπαναστάντες ἄδικοι μάρτυρες, οὓς ὁ κράτιστος ἡμῶν βασιλεὺς, καὶ σὸς παμπόθητος ἀδελφὸς, τὸ ψεῦδος φωράσας ἀποπεσεῖν τῶν διαβουλίων αὐτῶν πεποίηκεν. ὡς ψεύσασθαι τὴν ἀδικίαν ἑαυτήν. οὗτοι νῦν πάλιν αὐτῷ προσελθόντες, καὶ τὰ αὐτὰ περὶ τῶν αὐτῶν εἰπόντες, τοσοῦτον ἴσχυσαν, ὥστε καὶ τὰς λευκὰς ἐκείνας ψήφους, ἃς τοῖς δικαίοις ἡμῖν ἐχαρίσατο, νῦν πεῖσαι κατὰ χάους βαλόντα μελαίνας ἀντεξενεγκεῖν, καὶ πολλῆς γεμούσας στυγνότητος. καὶ τὴν τῷ ὄντι βασιλικὴν ἐκείνην κρίσιν τὸν τῆς Πηνελόπης ἱστὸν φανῆναι, τῇ μὲν ἡμέρᾳ τῆς ἀληθείας ἐξυφανθέντα, τῇ δὲ νυκτὶ τοῦ ψεύδους ἀναλυθέντα. καὶ τὸ δεινότατον, ὅτι καὶ ἐρήμην αἱρούμεθα. ὡς γὰρ ἐπυθόμην, ὁ ἐπαφεθεὶς ἡμῖν ἀναγραφεὺς ἀφελέσθαι τοῦ ἐν Ἀχρίδι τῆς ἐκκλησίας χωρίου διώρισται. χωρίον, ἐφ' ᾧ καὶ ἀνταλλαγῆς ἔγγραφα προὔβησαν. τῆς ἐκκλησίας ἀντὶ τῶν παλαιῶν, ὧν δεσπόζουσα ὑπεξέστη τῷ δημοσίῳ, τοῦτο λαβούσης διὰ τὴν παροικικὴν δουλείαν. χρῆμα πάντων ἀναγκαιότερον. καὶ χρυσόβουλλος λόγος ἑδράζων

τὴν ἀνταλλαγὴν προσεγένετο. καὶ βασιλικὸν ἐπαπειλήθη σημείωμα. ὅτε τὸν Ἡρακλέα ἐξεχελοῦντες ἦσαν οἱ Κέρκωπες. ἐπὶ τούτων τίνα με οἴῃ ψυχὴν ἔχειν. πῶς δ' οὐχί, κατὰ τὸν θεῖον Ἱερεμίαν, καὶ τὴν κοιλίαν ἀλγεῖν, καὶ τὰς αἰσθήσεις μαιμάσσεσθαι, καταθορυβούμενον πάντοθεν, καὶ οἷον ἐκβακχευόμενον. δηλοῖ γὰρ τὸ φρόνημα, τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον, καὶ πλεῖστον παρὰ λόγον ξυμβαῖνον. ὁ σεμνὸς Θουκυδίδης φησί. ἔγωγέ τοι καὶ ταῖς χθιζαῖς συκοφαντίαις, εἰ καὶ μὴ ἐῤῥιζώθην βεβαίως, πλὴν ἀλλ' ὅτι τοῦτο μόνον ἐσπάρησαν κατὰ γῆς ἀγαθῆς τῆς βασιλικῆς ἀκοῆς, ὥς τι κώνειον, ἢ ἀκόνιτον, ἢ ἄλλό τι δηλητηριῶδες φυτόν. κἀκείναις τοίνυν οὕτω κατεκάμφθην τεταλαιπωρηκώς, ὡς συγκύπτειν χαμαί, καὶ κάτω νεύειν, μηδὲν ἀξιωματικὸν ἔχων δίαρμα, καὶ φέρειν παρὰ δούλων. τυπτόμενος. ὢ βασιλεύων ἐν τοῖς βασιλείοις Χριστέ, καὶ μηδ' ὅτε κρινόμενος ἐῤῥαπίσθης, πρᾶος τὸν ἐκ δούλου ῥαπισμὸν ἀνενέγκων. τίνα γὰρ ἐκινήσεις οἴῃ τὸ μὴ οὐχὶ καὶ χεῖρας ἐπιβάλλειν ἡμῖν ὁρῶντα τοὺς κατεπόντας οὕτω παροινόντας ὡς ἡμιθέους ἐν ἡμιόνοις φασί, καὶ παροίνιον ποιουμένους διήγημα. τό, τάδε καὶ τάδε τῶν βασιλέων εὐσεβεστάτων κατὰ ἀρχιερέως συμπλασαμένους εἰπεῖν, καὶ ἀποδράναι τὴν δίκην, εἶτα τούτῳ ἐπικαγχάζοντας. πεπλέσται γὰρ κἀνταῦθα ἐπ' ἐμοὶ τὸ Δαβιτικόν. κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλαις, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες οἶνον. πάνυ γοῦν ἀνέξονταί μου ἢ ἐλέγχοντος, ἢ ἐπιτιμῶντος, ἢ παρακαλοῦντος. εἴ τι τοῦ λαοῦ μέρος εἶεν, εἴ τε τῆς ἐκκλησιαστικῆς συγκληρώσεως. ἰδόντες τινος οὐ κάκιον ἐπὶ τοῖς προτέροις ἐλεγμοῖς πράττονται; δι' οὓς ἐκθηριωθέντες οἱ τούτοις ὑπεύθυνοι, λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. καὶ ἐπὶ πᾶσιν

οὐχ

εἰχ' ὅπως ποινὴν οὐκ ἔδοσαν, ἀλλὰ καὶ ὡς τροπαίῳ τῇ κακίᾳ ἐλλάμπονται καὶ φόβος οὐδαμοῦ. μηνύουσι δὲ ὥσπερ πρόβατα αἰώνια, καὶ συνετέλεσαν ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν. οὐκ ἄκαιρον γὰρ τὸ τοῦ πολυπαθοῦς Ἰὼβ φθέγξασθαι. ἐγὼ γὰρ τὴν Λερναίαν ὕδραν ᾔδειν, καὶ τὰς τομὰς διπλασίαν ἑαυτῆς γινομένην, καὶ πράγματα παρασχοῦσαν Ἡρακλεῖ τῷ γενναίῳ, ξίφος μόνον ἐπ' αὐτὴν αἴροντι. κἂν ἐκινδύνευσεν ὁ ἥρως, ἢ καὶ πάντως γε ὁ ἆθλος τῷ ἥρωϊ, εἰ μὴ καὶ τὸν καλὸν Ἰόλεων πυρφόρον προσεταιρίσατο, τὰς τομὰς ἐπικάοντα. τί δὲ μύθου δηλοῦντος, ἐμοὶ δοκεῖν, ὡς ἐπὶ τὴν κακίαν [τοῦτο γὰρ ἡ Ὕδρα.] οὐκ ἐπιπολαίου δεῖ τομῆς καὶ κολάσεως. κακοὺς γὰρ ἂν αὐτοὺς οὕτω κολαζομένους ἀπεργασαίμεθα, οἰομένους ἐμπαῖξαι τῇ δίκῃ, καὶ διὰ τοῦτο τοῦ λοιποῦ τὴν πονηρίαν παρρησιαζομένους ἀδεέστερον καὶ γυμνότερον. πολυπλασιάζεται γὰρ ἡ τόλμα τοῖς πονηροῖς, ὅταν μαλακωτέρας τῆς ποινῆς πειραθῶσιν, ἣν αὐστηρὰν εὑρεῖν ἤλπισαν. οὐκοῦν ἀποτμητέον μόνον τὰς τῆς κακίας ἐκχύσεις, ἀλλὰ καὶ τὰς πηγὰς ἀποξηραντέον τοῦ τὰς θηριώδεις κεφαλὰς καὶ φύοντος καὶ τρέφοντος αἵματος. εἰ δὲ μηδ' ἁπλῶς οὕτως αἱ κακαὶ προβολαὶ τέμνοιντο, τοῦτ' αὐτὸ τὸ τῆς παροιμίας, Λέρνη κακῶν. ἀλλ' οὕτω μὲν καὶ ἐπὶ ταῖς προγεγονυίαις ὕβρεσι καὶ ἡ καρδία μου ἐγκατέλιπέ με. ὅπερ ἐστὶν ἡ ζέσις τοῦ πνεύματος, ᾗ κατὰ πάσης κακοηθείας ἐχρώμην, καὶ τὴν γλῶσσαν ὄντως ἐδείκνυον πυρίνων γλωσσῶν μαθήτριαν. εἰ δὲ καὶ τὰς παρὰ τοῦ νῦν κατὰ γραψαμένου πληγὰς προσλάβοιμι, βαρεῖαν, ὥς φασιν, ἐκδεξαμένου παρὰ τῶν βασιλείων χειρῶν τὴν μάστιγα, καὶ κελευσθέντος τοῦτο δὴ τὸ τοῦ Ἡσαΐου ἀλλοτρίως τοῖς ἡμετέροις χρήσασθαι. τοῦτο γὰρ ἤνυσαν, ὡς ἀπειλοῦσιν οἱ μισοῦντες ἐν πύλαις ἐλέγχοντας, καὶ λόγον ὅσιον βδελυσσόμενοι. ἀλλ' ἐνταῦθά μοι παρέστω

Βαρούχ, ὑπογραμματεύων Ἱερεμίᾳ θρηνοῦντι, καὶ τῷ μέλλοντι χρόνῳ φυλάττων ἀοιδίμους τὰς συμφοράς. εἶτα τοιούτων κηλίδων καὶ τοσούτων ἡμῖν ἐναπληθεισῶν, οἵη θείας ἐμφάσεως τοῦ νοῦ τὸ κάτοπτρον δέξασθαι. οἷς καὶ τὸ φῶς τῶν ὀφθαλμῶν καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. τοῦτο μὲν εἰκός τι καὶ κατὰ λόγον. πλὴν ἐπεὶ τῷ θεῷ, καὶ τῷ ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ βασιλεύοντι, καὶ τῇ τῆς ὑμετέρας μεγαλειότητος ἀγαθότητι τῆς καθ' ἡμᾶς ἀνεθήκαμεν, πεποίθαμεν ὡς ἡ ἐλπὶς ἡμῶν οὐ καταισχυνθήσεται, οὐδ' ἀπολεῖται εἰς τέλος ἡ τῶν πενήτων ὑπομονή, οὐδέ τι κατισχύσει σοφίας κακία. εἴ τι δεῖ τῇ σοφίᾳ τοῦτο ὑποφαινομένην πειθεσθαι. καὶ τὸ τῆς ῥαγὸς γινόμενοι, ἐγχειρίσομεν τῇ ἐργασίᾳ τοῦ ἐπιτάγματος, καὶ γεῦμα στελοῦμεν τοῖς τὴν γεῦσιν κριτικωτάτοις ὑμῖν. κἂν μὲν ἀνθοσμίας δόξῃ τὸ γεῦμα, καὶ τῆς ἀμπέλου ἐκείνης γέννημα, ἧς ὁ οὐράνιος πατὴρ γεωργός ἐστι, καὶ τοὺς λειπομένους ἐκθλίψομεν βότρυας. εἰ δ' ὀξίνου καὶ τὴν γεῦσιν δριμύσσοντος, οἵοις δὴ Χριστὸς παρὰ τῶν σταυρωτῶν παίζεται, ἀποκτεινόντων αὐτὸν ἔξω τοῦ ἀμπελῶνος, καὶ τοῦ τῶν γραφῶν βουλήματος, ματαιοπονοῦντες εἰσόμεθα. τὸ δ' οὖν παρὸν ἀναχέσθω τῆς ἡμῶν ἀσθενείας ἡ σὴ φιλανθρωπία, ἄχρις οὗ μικρόν τι κουφισθέντων ἡμῶν αἱ παρειμέναι χεῖρες καὶ τὰ παραλελυμένα ἰσχύσωσι γόνατα, Χριστοῦ, ὅς ἐστι δύναμις, ἡμᾶς ἐνισχύοντος, τῆς ἀσθενείας καὶ ψυχικῆς καὶ σωματικῆς ἀνωτέρου. ὅπερ ἐστὶ κακώσεως καὶ κακώσεως.

Τῷ

Τῷ Βρυεννίῳ, τῷ συμπενθερῷ τοῦ βασιλέως.

Ἐπισ. λα.

Ἀφ' οὗ πρώτως ἐγευσάμην τοῦ τῆς σῆς χρηστότητος μέλιτος, μεγαλεπιφανέστατέ μου αὐθέντα, ἔγκειται μὲν μου τῷ τῆς καρδίας στόματι ὁ ταύτης χυμός. γλυκείας δὲ τὰς ἀναφορὰς ποιούμενος, οὐκ ἔστιν ὅτε μὴ μνημονεύειν με ποιεῖ τοῦ τῆς σῆς μεγαλειότητος ὕψους. ἀμέλει καὶ ἀεί σοι ποθῶ διαλέγεσθαι. μὴ ἔχων δὲ ὁ δύσερως ὅπως δροσίσω τὸν πόθον, ἀδικεῖ γάρ με περὶ τὸν δροσισμὸν τὸ διάστημα, γράμμασι τοῦτον σοφίζομαι. καὶ διὰ τούτου [illegible] σοι, καὶ τὰ εἰκότα προσφθέγγομαι, ὑγίαινε οὖν καὶ σώματι καὶ ψυχῇ, καὶ εὐοδοῖο τοῖς περί σε, ἵνα σοι διὰ πάντων ὁ χαρακτὴρ τῆς εὐδαιμονίας ἐμφαίνοιτο, καὶ ἀκούοιμι περὶ σοῦ, ἅπερ καὶ θεῷ φίλα, καί σοι προσήκοντα, καὶ ἡμῖν δι' εὐχῆς ἀγόμενα. ἱερέων ἡμᾶς, ὡς πατέρων. λαοῦ ἀνάπαυσιν, καὶ τῆς ἀλλοδαπῆς ἐπαναγωγὴν, ὡς ἐλευθερωτοῦ καὶ λυτρωτοῦ ἥκοντος. βαρβαρικῶν χωρῶν καταδουλώσεις, χρηστότητι μᾶλλον χρηστότητι ἐπαγομένων ἢ δόρατι. τὸ μὲν γάρ ἐστι κινητικὸν πρὸς ἀπόδρασιν. ἡ δὲ χρηστότης μόνης ἐχέγγυον ἀγάπης χεῖρα τηρούμενον. ταῦτα καὶ πλείω τούτων ἡ τε φήμη πρὸς ἡμᾶς ἄγοι. καὶ ἡμεῖς αὖ τῷ μεγαλοφώνῳ στόματι τοῦ λόγου κηρύττοιμεν, τοῖς σοῖς κατορθώμασιν ἐφηδόμενοι, καὶ τοῖς εὖ πάσχουσι συνηδόμενοι. ἵνα τοῦτο γοῦν εὐτυχοῖμεν, τὸ πρὸς γείτονας ὁρᾶν μακαρίους, τοῦ φθόνου τὰς κόρας σβεννύοντες. ὡς τά γε ἡμέτερα καὶ λίαν ἔχει πικρῶς. εἰ δὲ ποθεῖς ταῦτα μαθεῖν διὰ τὴν περὶ ἡμᾶς σου χρηστότητα, ὁ τὸ γράμμα διακομίζων, ἃ περὶ τὸ γράμμα ταῦτα ἐκδιηγήσεται. ἡμέτερος γὰρ ὤν, καὶ διὰ τοῦτο παρὼν ἡμῖν, καὶ ἀπαγ-

ἀπαγγελλομένων τούτων ἀκούσας, συνέπαθε τὴν ψυχήν, καὶ τῇ μνήμῃ παρακατέχων ἃ ἤκουσεν, ἠκελεύσθη εἴη ἐξειπεῖν, ἕξει τὴν γλῶσσαν διδασκαλικῶν συμφορῶν διδάσκαλον. ἀλλὰ γὰρ ἡμεῖς μὲν τῷ πατρὶ μαστιζόμενοι, παρ' ἐκείνου περιμένομεν καὶ τὴν παράκλησιν. ἐπεὶ καὶ πατὴρ πάσης παρακλήσεως λέγεται. αὐτὸς δὲ τὸν ὕψιστον καταφυγὴν ἑαυτοῦ ποιησάμενος, οὐκ ὄψῃ κακὰ προσερχόμενά σοι, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου, τηρούμενος πάσης ἀνωτέρου κακώσεως καὶ κακώσεως.

Τῷ ἐπισκόπῳ Τελαδίτζης.
Ἐπισ. λβ'.

Ἐδεξάμεθά σου τὴν γραφήν, τιμιώτατε ἀδελφέ. ἐν ᾗ εὐγνώμονα μὲν σαυτὸν συνίστης ἡμῖν, καὶ ὡμολόγεις εὐεργέτας ἡμᾶς, καὶ κρείττους πατρὸς καὶ μητρὸς καὶ λοιπῶν συγγενῶν. ἠξίους δὲ καὶ τοῦ δεσμοῦ λύσιν λαβεῖν, ἐς παρὰ τῆς συνελθούσης ἡμῖν ἀδελφότητος ἐπετέθη σοι. ὡς μὴ καὶ αὐτῷ συνελθόντι, καὶ ταῦτα κληθέντα, κἀντεῦθεν πραγμάτων ἀναγκαίων οἰκονομίας κωλύοντι. ἐπὶ μὲν τῇ τῆς εὐγνωμοσύνης προσποιήσει, καθ' ὑπερβολὴν ἐβαρύνθημεν. ὅτι οὕτως ἀπόλωλεν ἐκ μέσων ἡμῶν ἡ ἀλήθεια, καὶ ὁ δόλος μετὰ τῆς αὐτοῦ ποικιλοβαφοῦς ἀμπεχόνης τῆς ὑποκρίσεως τῷ θεάτρῳ ἡμῶν ἐμπαρρησιάζεται, καὶ σκηνικῶς παίζει τὰ φρίκης ἄξια, εἰρήνην μὲν λαλῶν μετὰ τοῦ πλησίον, κακὰ δὲ τεκταίνων ἐν τῇ καρδίᾳ. τίς γὰρ οὐκ οἶδεν, ὅπως εἰς τὴν μεγαλόπολιν εἰσελθοῦσα ἡ ὁσιότης σου μυρίας ἐπαφῆκε τὰς τῶν διαβολῶν βολίδας τοῖς νῦν ἀναγραφομένοις εὐεργέταις ἡμῖν ἐν τῷ γράμματι. καὶ ὡς οὐδεὶς ὑπελείφθη σχεδόν, οὗ τι

μείζων,

μείζων, ὑπεμείων, ὃς μὴ τὸ παρὰ τῆς σῆς γλώττης καθ' ἡμῶν δυσφημίαις τὰς ἀκοὰς ἐκκεκώφωται. τούτων οὐκ ὀλίγοι οὐδ' ἀναξιόπιστοι μάρτυρες. ἀλλὰ γὰρ ταῦτα μὲν καὶ λόγου μακρότερα καὶ καιροῦ ἐκτραγῳδεῖν τε καὶ ἀνακλαίεσθαι. συλλογιζομένοις ἐντεῦθεν ὡς οὐ μακροὶ οἱ τῆς ἀποστασίας καιροί, οὐδὲ μέλλουσι τὰ κατ' αὐτῶν ἀπειλούμενα. διὸ καὶ πρὸς τὸν δυνάμενον ταῦτα παῦσαι μόνον θεὸν τοὺς ὀφθαλμοὺς αἴρομεν, καὶ πρὸς τὰ τῆς ἐκείνου δικαιοσύνης ὄρη, ὅθεν ἥξει ἡμῖν ἡ βοήθεια. ὁ γὰρ διδάξας πάντως καὶ οἷς ἐποίει, καὶ οἷς ἐλάλει, εὐχαρίστους εἶναι ἡμᾶς. τί μὲν οὖν εὐχαρίστους λέγω; καὶ τοῖς κακῶς ποιοῦσιν ἀγαθῶν χορηγούς. οὗτος ἢ διορθώσεται τὰ στρεβλά, ἢ κλάσει πάντως ἰδὼν ἀδιόρθωτα, ὥσπερ αὐτοῦ νόμος ἄνωθεν. ταῦτα μὲν οὖν ἐφ' οἷς ἡμῖν καινῶς τι καὶ ἀσυνήθως ταπεινολογεῖν σαυτὸν ἐφαντάσας. τὴν δὲ λοιπήν σου ἀξίωσιν, ὡς Χριστοῦ μαθηταί, εἰ καὶ ἀνάξιοι, προσηκάμεθα. ὃς καὶ λοιδορούμενος, οὐκ ἀντελοιδόρει καὶ πάσχων οὐκ ἠπείλει. παρεδίδου δὲ τῷ κρίνοντι δικαίως, καὶ τὴν τοῦ Πέτρου μικρολογίαν καταγνούς, ἑπτάκις ἀφιέναι δικαιοῦντος τῷ ἁμαρτάνοντι, αὐτὸς τὴν τοῦ ἑβδομηκοντάκις ἑπτὰ φιλοτίμως, ὁ ἐν ἐλέει πλούσιος, ἐπιδαψιλεύσατο. ἐδεξάμεθα γοῦν, ὡς εἴρηται, τὴν ἀξίωσίν σου, ἄλλως τε καὶ βαρείᾳ νόσῳ πεπεδημένου, ὡς ἔγραψας, καὶ τὸν τοῦ θανάτου ἐπανατεινομένης σοι κίνδυνον. καὶ ὅσον γε τὸ εἰς ἡμᾶς ἧκον, ἴσθι λελυμένος ἐν ἁγίῳ πνεύματι, καὶ πᾶν δὲ ἱερατικὸν ἔργον ἀνέτως τελῶν. πλὴν ἐπεὶ καὶ παρὰ πλειόνων ἀδελφῶν ὁ δεσμὸς ἐπεβλήθη σοι, καθὰ καὶ τὸ συνοδικῶς ἐκτεθὲν πρός σε γράμμα ἐδήλου, ἔγραψα μὲν ταῦτα καὶ πρὸς τὸν Πελαγονίου, καὶ πρὸς τὸν Στρομβίτζης, καὶ πρὸς τὸν Μαλεσόβης. δι' ὧν ὁ σὸς ὑπηρέτης τὴν πάροδον δὴ ποι-

ποιήσεται. καὶ οἶδ' ὅτι καὶ αὐτοῖς δόσει ἡ σὴ ἀξίωσις οὐκ ἀπόβλητος. καὶ λύσουσι δεσμὸν, ὃν ἐπέβαλον. ἐνὶ καὶ τῷ αὐτῷ κινούμενοι πνεύματι. γράψομεν δὲ καὶ πρὸς τοὺς λοιποὺς, καὶ πάντως παρ' ἐκείνων αὐτῶν μαθήσῃ τὸ ἐκείνοις παραστησόμενον. τὸ δ' οὖν ἡμέτερον, ὡς ἔφημεν, λέλυται. καὶ λοιπὸν ὑπὲρ ἡμῶν εὔχου. εὐλογῶν τοὺς ἀγαπῶντάς σε, καὶ μὴ καταρώμενος. αἰσχυνόμενος παρὰ τοσοῦτον ἐλθεῖν τῆς εὐαγγελικῆς ἐντολῆς, ἣ καὶ τοὺς διώκοντας εὐλογεῖν καὶ μὴ καταρᾶσθαι βούλεται.

Τῷ κυρίῳ Ἰωάννῃ, τῷ γραμματικῷ τοῦ Παλαιολόγου.

Ἐπισ. λγ'.

Ἆρα καὶ αὐτὸς τὸ τῶν πολλῶν πείσῃ, θεοτίμητε ἀδελφὲ καὶ δέσποτα, καὶ τὸ παρὸν καταμείψῃ γράμμα, ἐν καιροῖς ἀνάγκης πρός σε γενόμενον, οὔπω πρότερον γεγονὸς, ὅτι μὴ ἀνάγκη δηλαδὴ παρῆν ἐκκαλουμένη βοήθειαν. ἢ ὡς λόγῳ σώφρονι καὶ κρείσσω τὰ πάντα ἰδεῖς, οὐκ ἐπιλήψῃ τῶν ἐν καιρῷ τῆς νόσου καλούντων τὸν ἰᾶσθαι δυνάμενον, περιττὸν κρινόντων ἐνοχλεῖν αὐτῷ ὁπηνίκα ὑγιῶς τὸ σῶμα διάκειται. τοῦτο οἶμαι. μᾶλλον δὲ ἀσφαλῶς πέπεισμαι. εἰ μή τί γε ἐγὼ τῆς σῆς στερρότητος ἐπιλέλησμαι. ἀλλ' ἐπεὶ τοῦτο οὕτως ἔχον ἐστὶν ἡμῖν, ἄκουε λοιπὸν καὶ τὴν τοῦ γραμματίου ὑπόθεσιν. χωρίον τῇ καθ' ἡμᾶς ἐκκλησίᾳ διαφέρον, περὶ τὸν Βαρδάριον διακείμενον, τοῖς ἀθεωτάτοις πράκτορσιν ἐφόδιον πρὸς τὴν ἡμετέραν κάκωσιν γίνεται. καὶ μάλιστα τῷ μὴ τὴν ἀπληστίαν καὶ τὸ πάσιμον Ἰασίτῃ· ὃς οὔτ' ἀνέρας ᾔδειν οὔτε θεόν. χαλεπὴ δὲ ἐλθοῦσα δέδοικεν οὗτος

γίνεσθαι

γείτοσιν ἡμῶν πονηροῖς, σαγλώαις εἴ τι αὖ τις, καὶ πατάγροις, πρὸς τὸ τῆς ψυχῆς αὐτοῦ βουλόμενον συγχρησάμενος, σωέλαβέ τι σχεδὸν πάντα τὰ τοῦ χωρίου, καὶ κατέφαγέ με, ἐμερίσατό με, ὥσπερ ἐγκοτῶν τῷ λόγῳ ἀλογώτατος. ἐπεὶ τοίνυν, ὡς ἐπυθόμεθα, τῷ τοῦ πανσεβάστου αὐθέντου ἡμῶν υἱῷ ἡ περὶ τὸν Βαρδάριον ἀρχὴ νῦν ἀνετέθη, ἔγραψα μὲν τῷ κοινῷ αὐθέντῃ ἡμῶν, ὥστε συνήθως ἀντιλαβέσθαι ἡμῶν, καὶ ὑποθέσθαι τῷ περιποθήτῳ υἱῷ αὐτοῦ περὶ ἡμῶν τὰ χρηστότερα. χρηστεύσεται δὲ, εἰ τά τι ἄλλα ἀνεπηρεάστους ἡμᾶς περὶ τὸ χωρίον τοῦτο διατηρήσει. καὶ δὴ καὶ τοῦτο ἡμῖν, μᾶλλον δὲ καὶ τῷ θεῷ χαρίσεται. τὸ μὴ ἀναγραφεῖς ἐπιπέμψαι τῷ χωρίῳ. τοῦτο γὰρ καὶ οἱ ἀπανθρωπότατοι τῶν πρακτόρων ἡμῖν ἐχαρίσαντο. ταῦτα μὲν οὖν τοῦ αὐθέντου ἡμῶν ἐν τῷ πρὸς αὐτὸν ἐδεήθημεν γράμματι. γράφομεν δὲ καὶ τῇ τῆς σῆς ἱερότητος τιμιότητι. ὡς ἂν τούτῳ ἀκολουθήσας, εἴ τι ἀγάπῃ ὑπουργήσαις ἐκεῖνα, καὶ τῷ τῆς ἀγάπης θεῷ καὶ τοῦτο λειτουργήσαις, τὸ ἐμφανίσαι μὲν τῷ πανσεβάστῳ τὸ ἡμέτερον γράμμα. κέντριζε δὲ αὐτὸν ἀεὶ ἐπὶ τὸ πέρας ἐπιθεῖναι τοῖς ζητουμένοις διὰ τοῦ γράμματος, ὀχληρῶ σοι δοκῶ ἀδελφὸν θαυμάσιε. ἀλλά τι πάθω, πρὸς ἀνάγκην οὐκ ἔχων μάχεσθαι. ἰδοὺ καὶ τοῦ θείου γῆρας καταλαμβάνει κατὰ τὴν παροιμίαν πεποίηκεν. ὑπέστη δὲ τοίνυν τὸν ἄθλιον τοῦτον, καὶ γῆρας ἡμῖν Ἡρακλῆς ληστρικὸς. ληστὰς γὰρ ἐγὼ τῆς ἀληθείας σου ἀναγραφεῖς τίθημι. θεὸς, ᾧ καὶ διὰ τοῦ λόγου καὶ διὰ τοῦ ἐπαγγέλματος καθωσίωσαι, τηροίη σε πάσης κακώσεως ἀνώτερον καὶ κακώσεως.

Τῷ ἀδελφῷ τοῦ βασιλέως, κυρίῳ Ἀδριανῷ.
Ἐπισ. λδ΄.

Ἅγιέ μου αὐθέντα, διὰ μὲν τὸ ἔναγχος πρὸς τὴν μεγαλειότητά σου σταλέντος γράμματος νεφελῶν ἀπετραγῴδουν ζοφερὰν περὶ ἐμὲ σύστασιν. καὶ δυσφόρως ἔχων ἐπὶ ταύτῃ μόνον οὐ δάκρυσι τὴν ἐπιστολὴν διεχάραξα. νῦν δὲ καὶ χαλάζης εἶδον καταφορὰν, θραυούσης ἐλεεινῶς τὰ ἡμέτερα. καὶ οὐκ ἔχω πῶς ἀξίως τὴν συμφορὰν ἀποκλαύσομαι. καὶ αὐτὴ γὰρ ἡ τῆς γλώττης ἰσχὺς ἐθραύσθη μοι. ὅσῳ καὶ γυμνότερον ἔχουσα. οἱονεὶ σκοπὸς ταῖς βολαῖς ἐξέκειτο. πλὴν ἕν γε τοῦτο μόνον λέγειν ἰσχύω, ὅτι παντάπασιν ὑπὸ τοῦ ψεύδους παρευημέρηται ἡ ἀλήθεια, καὶ ἡ συκοφαντία, στεφανωσαμένη κατὰ τῆς δίκης, πομπεύει λαμπρὰ λαμπρῶς ἐπὶ πορφυρέου τοῦ ἅρματος. διὰ τοῦτο ἐν ἡμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄρρωστοι, καὶ κοιμῶνται οἱ ἱκανοί. ἐμὲ γὰρ, ὦ γῆ καὶ ἥλιε, ἐμὲ Βουλγάροιν δυεῖν παιζόμενον ἡ σκηνὴ τοῦ ἐνεστῶτος βίου προδείκνυσιν. ὁ δὲ Οἰδίπους ποῦ, καὶ τὰ κλεινὰ αἰνίγματα. ἀλλ' αὐτός γε ὁ τῆς ἀληθείας μαθητής τε, καὶ φίλος, καὶ σύμμαχος, βοήθησον αὐτῇ κινδυνευούσῃ, ὡς ἔνεστιν. ἔσται δὲ τοῦτο, εἰ εὐδοκήσεις ὑπερλαλῆσαι ταύτης εἰς τὰ ὦτα τοῦ βασιλέως καὶ ἀδελφοῦ. δεινὸν γὰρ, δεινὸν τεθνηκότας κύνας ζῶντος λέοντος καταπαίρεσθαι, θείοις καὶ βασιλικοῖς δεθέντος δεσμοῖς, καὶ φορβεᾷ τοὺς βρυχηθμοὺς ἐκκοπέντος, οἷς καὶ μόνοις ἐκφοβεῖν δύναται. δεινὸν ξυρηθῆναι τῷ τῆς διαβολῆς ξυρῷ τὸν Σαμψὼν, ἔπειτα παραδοθῆναι τοῖς ἀλλοφύλοις, ὥστε καὶ τοὺς ὀφθαλμοὺς ἐξορυγῆναι, οἷς ἑώρα τὰ ἐπουράνια, καὶ ἀληθινά. τὰ τοὺς ἀθέους ἐκείνους τρέφοντα. ἀεὶ περὶ τὰ αὐτὰ δινεύοντα, καὶ προ-

κοπῆς

κόπης ἀνειργμένον. οὐκέτι μοι λέγειν περαιτέρω τούτων ἰσχύς, οὕτω καὶ ψιλῇ τῇ μνήμῃ τῶν γινομένων συγχέομαι. εἰ δ᾽ ἡ τοῦ βασιλέως δικαιοσύνη διὰ τῆς σῆς δυνατωτάτης ὑπὲρ ἡμῶν ὁμιλίας, συστολὴν ἐπιτάξει τοῖς νῦν τολμωμένοις ὑβριστικῶς καθ᾽ ἡμῶν, τάχ᾽ ἂν οἱ ξυρηθέντες τὴν κόμην ἀναθηλήσομεν. καὶ τὸν τῆς ὕβρεως οἶκον ἐπὶ τοὺς ἀλλοφύλους ἐντρυφῶντας ἡμῖν κατασπάσαντες, τὸν μακρὸν μὲν κάταθλον παύσομεν, αὐτοὶ δὲ μετὰ τῆς αἰσχύνης καὶ τὸν θάνατον ἐκφευξοίμεθα. ἀνθ᾽ ὧν τηροῖο ὑπὸ τοῦ δικαίου, καὶ ταῖς ἀκρωρείαις νεμεσῶντος, θεοῦ, πάσης ἀνώτερος κακιώσεως καὶ κακώσεως.

Τῷ χαρτοφύλακι. Ἐπισ. λέ.

ΑΥ᾽τὸ τοῦτο, καὶ τὸν ἀδελφόν μου στείλασθαι, μέσου χειμῶνος δολιχὴν ὁδὸν ἀργαλέαν τε, τεκμήριον τῆς καθ᾽ ἡμᾶς ἀνάγκης γενέσθω σοι, ἅγιε πάτερ καὶ δέσποτα. πρὸς γὰρ μόνοις ἡμῖν δεῖ τῆς τῶν σῶν εὐχῶν βοηθείας. ὡς τά γε ἄλλα συνκάνη, φασὶν, ἐπικηρεία, οὕτω πολυφόρῳ συγκεκεράμεθα δαίμονι. ὡς ἐμοί γε πολλῶν συμπεσόντων ἀνιαρῶν, ἀφ᾽ οὗ παρῴκησα μετὰ τῶν σκηνωμάτων Κηδάρ, τὰ νῦν ταῦτα τοσοῦτον ὑπερτεροῦσιν ἐκείνων τῇ τῆς πικρίας ὑπερβολῇ, ὅσον ἐκεῖνα τῶν εὐφραινόντων ψυχήν. καὶ νῦν ἐμπράκτως ἔγνων εἴπερ ποτε, ὅτι τῷ τοῦ θεοῦ ἀποστάτῃ, καὶ τραχηλιαστῇ, πρὸς τὸ καταλιπεῖν τὰς ἐκκλησίας συνελαυνομένας, ὡς μικρόψυχοι. ἵν᾽ ἐρήμοις αὐταῖς ἐγκυβιστήσῃ, καὶ παίξῃ τὰ θεῖα καὶ ἐπουράνια. ἀλλὰ βοήθεια τοῖς διὰ τὴν ὀλιγοπιστίαν διστάζουσι, καὶ τοῖς ἐν μέσῳ πελάγει δοκοῦσι καταβαπτίζεσθαι, τὸν λιμένα παρὰ σφίσιν αὐτοῖς ὄντα ἐδείκνυε, τοῦ λόγου ἐντὸς γενόμενοι καθιστάμεθα,

μεθα, καὶ τῷ ὅτι τὴν βασιλείαν τῶν οὐρανῶν ἐν ταῖς ἡμῶν ἔχοντες εὑρισκόμεθα. καὶ διὰ πάντων δίδαξον· τὴν τοὺς τρικυμίας ἡμῖν ἐπεγείροντα, ἔτι μάτην ἐγκοῖ τὴν θάλασσαν, παρόντος ἡμῖν διά σου τοῦ ἐπιπέσοντος αὐτῇ, καὶ λέγοντος. σιώπα, πεφίμωσο· καὶ ἐν σεαυτῇ συντριβήσονταί σου τὰ κύματα.

Τῷ διδασκάλῳ τῆς μεγάλης ἐκκλησίας.

Ἐπιστ. λς.

Εἴ με φλεγόμενον ἑώρακας, ἡμιώτατί μοι ἐν κυρίῳ υἱέ, αὐτὸς τῶν χεροῖν οὐδεμίαν κατέχων, ἆρ' ἂν ταῖς φλεγομένοις μέλεσιν ἐπεκένωσας, ἢ παρῆλθες, ὑπερηφάνοις ἢ ἀπηνέσιν ὀφθαλμοῖς θεασάμενος. οὐκ εἴμαι τὸ δεύτερον. ἔτι ἄλλό τι τὰ παρόντα νομίζεις ἡμῖν, ὅτι μὴ καὶ φλογὸς καὶ ἀνθράκων χείρονα, μὴ σύγε. βοήθει νῦν. ἐπειδὴ ταῖς πηγαῖς παρακάθησαι. εἰ δέ τι σκοτεινοὺς λόγους λαλῶ, καὶ αἰνίγματα, τάχα μὲν οὐδὲν ἀπεικὸς τινῶν ἐλεγχθήσομαι, τῷ τοιαῦτα λύειν ἐθισθέντι καὶ ἠσκηκότι τοιαῦτα φθεγγόμενος. πλὴν ἀλλ' εἰ καὶ δυσξενέτως τῶν λεγομένων ἀκούσῃ, πύθου τοῦ μαθητοῦ σου, τοῦ ἐμοῦ ἀδελφοῦ, καὶ διδάσκαλον εὑρήσεις τῶν ἡμετέρων ἐπηρειῶν. ἃς διασκεδάσαι κύριος ταῖς ὑμῶν ὑπὲρ ἡμῶν εὐχαῖς καὶ σπουδαῖς, ὁ ἐν πᾶσι τῆς ἡμετέρας ἀσθενείας κηδόμενος.

Τῷ

Τῷ Ταρωνίτῃ, κυρίῳ Γρηγορίῳ. Ἐπισ. λζ.

Ἐν μέσῳ δυεῖν εἰλημμένος παθῶν, οὐκ ἔχω μεγαλεπιφανέστατέ μοι ἐν κυρίῳ υἱὲ καὶ αὐθέντα, ποτέρῳ μᾶλλον ἐμαυτὸν ἐπικλίναιμι. ἐπανιόντα γάρ σε τῆς Κολχίδος ἀκούσας, ἡδονῇ καὶ λύπῃ μερίζομαι. τῇ μὲν, ὅτι σε ἐγγύτερον ἕξομεν, καὶ ἀπολαύει σου πόλις ἡ βασιλὶς, οἷον ἐκ χειμῶνος τῆς σῆς ἀπουσίας τῇ παρουσίᾳ ἐνεαρίζουσα. καὶ βασιλεὺς ὁ πάντων ἐν πᾶσι κράτιστος φρουρὸν ἄγρυπνον ἔχει, καὶ κοινὸν σκεμμάτων καὶ φροντίδων μερίστην, καὶ γνησιώτατον σύμβουλον. τῇ δὲ, τῷ ἀσπιδίσκης πόρπακι, μᾶλλον δὲ οὐδὲ τῷ ἵππῳ ἐπινυστάξει, ἀλλ᾽ ἐπὶ στρωμνῆς ἀνέτως ἀνακλιθήσεται. καὶ τὼ πόδε ἀποτενεῖ, καὶ εὐονείρους ὕπνους ὑπνώσει. καὶ οὐ φρίξεται Ταρωνίτης κἂν τοῖς φάσμασι. αἱ δὲ τοῦ Πόντου πόλεις νῦν ὄντως ἕξουσι κακῶν θάλασσαν. καὶ μετὰ τὴν ἐπί σου καὶ παρά σου γαλήνην ἡ περὶ σοῦ ζάλη τούτοις αὖθις ἐπιπεσοῦσα ἀκατεύναστον ὀγκώσει τὸν τάραχον. ὃ δὴ τοῖς ἀθλίοις ἄλγιον, δυστυχία γὰρ, ἐπειδὰν εὐτυχία διακοπεῖσα πάλιν εἰς ἑαυτὴν ἐπανέλθοι, λυπηροτέρα καθίσταται. ὥσπερ καὶ ψύχος μετὰ θέρμανσιν κρυερότερον. ὦ δείλαιοι δειλαίων ἐκεῖνοι, οἷς ἡ περιουσία τῶν ἀγαθῶν, ὧν ἀπέλαυσαν, εἰς κακοδαιμονίας ὑπερβολὴν περιίσταται. καὶ ἀναθηλήσαντες τῷ εὐκραεῖ τῆς σῆς ὥρας, εἶτα ἀθρόον ἀπεξηράνθησαν. καὶ γεγόνασιν ὡς τὸ ἀπ᾽ ἀρχῆς, ὅτε οὐκ ἦρξας αὐτῶν. τοῦτό γε πλέον ἔχοντες νῦν, τὸ πλέον τῶν συμφορῶν ἐπαισθάνεσθαι. καὶ τὸ τὰς χρηστοτέρας τῶν ἐλπίδων ἀφαιρεθῆναι. τίνα γὰρ εὑρεῖν ἐλπίσουσι τοῦ λοιποῦ. ὃς τοῖς μὲν πολιτικοῖς οὕτως ἐπιστατήσει, ὡς τῶν πολεμικῶν ἀγνοεῖν καὶ τὸ ὄνομα· τοῖς δὲ πολεμικοῖς οὕτως ἡρωϊκῶς ἐπιπρέ-

ἐπισκέπτει, ὡς μηδὲ τὴν πόλιν ἁπλῶς θεασάμενός τις
πλωτίσει μὲν τὸ ἀντίπαλον, πλουτίσει δὲ τὸ ὑπήκοον. τοὺς
πλείους μὲν τῶν στρατιώτας προϊόντας ἐπὶ τὸν πόλεμον,
βαρεῖς δὲ καὶ δυσκινήτους ἐπανιόντας ἐργάσεται. τὸ μὲν, τῷ
κούφῳ τῆς προθυμίας καὶ τῆς ἐλπίδος. τὸ δὲ, τῇ τῶν λα-
φύρων περιουσίᾳ τινὶ τοῦ ἐκκλησίας μέρος ἐπαναπαύσε-
ται, καὶ παῖδα γηροκόμον ἕξει, στηρίζεσθαι ταῖς εὐλογίαις
πιστεύοντα, καὶ τοῖς σωματικοῖς ἀντιστηρίζειν σπουδάζοντα.
τίνος σωφροσύνη καὶ τῶν τῆς ἐρημίας μοναχοὺς κατα-
πλήξει, ὡς ἡττωμένους τοσοῦτον τῇ τοῦ σώματος καθα-
ρότητι, ὅσῳ καὶ πῦρ ὁρῶσιν ἐν ὅλῃ τοσαύτῃ τὴν φύσιν δε-
νουμένον. ἀλλὰ μικροῦ με καὶ τραγῳδὸν τὸ πάθος ἐποίησεν.
ἐκείνοις μὲν οὖν ἱκανῶς καὶ ταῦτα διὰ τὸ φιλάδελφον
ἀφωσίωται. σὺ δ' ἐπειδὴ τοῖς ποθοῦσιν ἤγγισας, καὶ πάντες
καθ' ὅσον ἔνεστιν ἀπολαύουσι. καὶ αὐτὸς δὲ εἴπερ τις ἄλλος
ἀπολαύειν σου ἄξιος, μηκέτι μοι ἐκ διαλημμάτων
ἐπιμέτρει τὰς ἐκ τῶν γραφῶν χάριτας. μηδ' ἀνέχου
κατὰ σταγόνα τὰ τῆς εὐφροσύνης ἐπιστάζειν ἡμῖν. ἀλλ' ὅλοις
ποταμοῖς τὴν ἐμὴν ἐπίκλυζε ταπεινότητα. καὶ δήλου μοι
τὰ σὰ τῷ πρός σε δυσέρωτι θαμινώτερα. οὐ γὰρ δή που τοῦ
λοιποῦ Πόντον αἰτιάσῃ, καὶ διάστημα δυσδιόδευτον. καὶ
ἀγγέλλοις μὲν ἀεὶ περὶ σαυτοῦ χρηστότερα καὶ ἡδίονα. ἵν'
οὕτω γοῦν κατὰ ψύχοις τὴν ἐμὴν γλῶτταν τοῦ πλουσίου τὴν ἐκ
τῶν συκοφαντῶν ἐπηρείαις. καὶ διὰ ταῦτα ὀδυνωμένου ἐν
τῇ ἄλλῃ ἀκαταβέστῳ ταύτῃ φλογί. ὡς ἔγωγε, ὁπηνί-
κα τι τῶν σῶν ἀκούω, ὑετὸν ἀτεχνῶς ἡ διακεκαυμένη
γῆ δέχομαι. ἀκούω δὲ ἑκάστοτε ἀεί μοι ταῦτα τοῦ Θεοδοσίου
διηγουμένου γλώττῃ, εὐγνώμονι μὲν, ἐλαττουμένῃ δὲ τῆς
ἀξίας εὐφημίας τῶν ἔργων. ὃς συνέσιν ἡμῖν τὰ μέγιστα
χαριζόμενος. εἰς ἐξυμνήσιν σου τὴν δεξιότητα. ἣν καὶ ἔτι

καὶ

καὶ ἔτι χαριτώσας ὁ κύριος ἀεί σε δείκνυοι λαμπρότερον ἐν ἀρετῆς πάσαις, ὅσαι ψυχῆς, ὅσαι σώματος, καὶ φυλάττοι πάσης κακώσεως ἀνώτερον καὶ κακώσεως.

Τῷ ἀρχιατρῷ, κυρίῳ Νικολάῳ τῷ Καλλικλεῖ. Ἐπιστ. λή.

ΜΙσοῦμεθ' οὕτως ὥστε μὴ προσενέπην. ἀλλ' αὐτός γε προσφωνῶ μὴ μισῶν δηλαδή. ὑγιαίνοις οὖν, καὶ ἀπολαύοις τό τι φιλανθρώπου ἰατρικῆς, καὶ τῶν βασιλείων, ὅσα καὶ ἀμφότερα χρηστά. τῶν δ' ἐναντίων πόρρω φυλάττοιο, ἵνα ταύτῃ καὶ τῷ διεγγίζοις, καὶ τοῦ κεραυνοῦ τηρᾶο ἀπείρατος. ἀλλὰ μεταδίδου φίλοις σῆς εὐπραξίας, καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε. μεταδοίης δ' ἄν, εἰ τῷ ἀδελφῷ μου συνεργήσαις εἰς ἃ σου δεῖται ὡς ἔνεστιν. ἐν ἰδὼν ἐν τοιούτῳ καιρῷ πρὸς τοσαύτην οὐδὲν παραβαλλόμενον, συλλογίσῃ τὸ τῆς ἀνάγκης μέγεθος, ὑφ' ἧς ἐντεῦθεν ἐλήλαται. δεῖξον οὖν ἡμῖν ὅσον δύνασαι. οὕτω γὰρ ἄν σοι καὶ τὰ μείζονα δυνήσεσθαι συνευξώμεθα.

Τῷ αὐτῷ. Ἐπιστ. λθ'.

ΣΥ' δὲ εἰ καὶ τὸν Ἀλκμαίωνα οἶδας ἐκεῖνον, τὸν διὰ τὴν μητροκτονίαν οὐδενὶ μέρει γῆς δεκτὸν νομιζόμενον. ἀλλ' ἐμέ γε ἰδών, τὴν ἐκείνου κατέψει τοῦ κακοδαίμονος ἀθλιότητα. ἐμὲ γὰρ τῆς ἐν Ἀχαΐδι γῆς ἀπελαύνων ὁ τὰς τῶν ἀνθρώπων εὐημερίας κολούων δημόσιος, καὶ τὰς τούτων συμφορὰς ἐκκαρπούμενος, εἶτα πρὸς Πελαγονίαν φεύγοντα συναισθόμενος, οὐδὲ ταύτην πα-

τῶν ἀξιοῖ. οὐδὲ μὲν ἔχων προτείνειν δίκαια, ὅτι δὲ δημόσιος εἴη δήμιος. τί τοίνυν ταῦτά σοι ἀποδυρόμεθα; ἵνα στήσῃς μοι τὴν πλάτην αὐτός. πάντως ὁ ῥοῦς σου τῆς ἀγαθότητος οὐκ ἐλάττων, ἢ ὁ τοῦ Ἀχελώου, τοῦ νέαν γῆν ὑποστήσαντος τῷ Ἀλκμαίωνι. εἰ δὲ ζητοίης τὸν τρόπον, δι' οὗ στησόμεθα, μαθήσῃ τοῦ ἀδελφοῦ μου, ὃν εἰς αὐτὸ τοῦτο ἐστείλαμεν. τὸ τῶν συμφοραῖς ἡμῶν λύσιν εὑρέσθαι. ταῖς μὲν ἄλλαις, δι' ἄλλων. τῇ δὲ τῆς ἀτιμίας ταύτῃ, διὰ τῆς σῆς δεξιότητος. ὅπως οὖν μοι κἂν τῷ πάθει τούτῳ δείξῃς τὸν ἰατρὸν τὸν Παιήονα.

Τῷ ὑπάτῳ τῶν φιλοσόφων, τῷ Ἀμυρναίῳ.
Ἐπισ. μ΄.

Εἰ μὲν τραγῳδιῶν ἀκούειν ποθεῖς, ὦ τῶν ἐν φιλοσόφοις Χριστιανῶν, ἢ τῶν ἐν Χριστιανοῖς φιλοσόφων ὕπατε, ἐπαίτει τὴν ὑμετέραν φιλίαν γράμματα. οὐδὲν γὰρ ἄλλ' ἢ ἀναπληνιασμοὺς καὶ θρήνους ταῦτά σοι ἕξουσι. ἐπεὶ καὶ τοιούτων τὰ παρόντα ἡμῖν ὑπόθεσις. εἰ δ' ἄλλως σοι τῶν τραγῳδιῶν, καὶ ἐγγύθεν αὐτῶν ἀπολαύων δαψιλεστάτων, οὐκ ἂν καὶ Βουλγαρόθεν δεήσῃ προσπερανίσασθαι, μὴ δὲ γράμματα πράττε ἡμᾶς δηλοῦντά σοι τὰ ἡμέτερα. οὐδὲ γὰρ οὐδὲ βουλομένοις ἡμῖν ἀλλοιότερα γράφειν ἔνεστιν. ἀλλ' αὐτόματος ἡ τῶν συμφορῶν ἀγγελία ὑπὸ τὸν γραφέα γίνεται κάλαμον. καὶ ἅμα γράφομεν, καὶ συμφορὰς γράφομεν. ἀλλ' αὐτός γε ἔρανον τῶν τοιούτων ἔχοις, ἵνα μὴ πάντα εὐτυχοῖεν οἱ τὴν ἀρετὴν θλίβοντες. ὧν καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐξέλοιτο κύριος. οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, ἃς ἐποιήσαμεν. ἀλλὰ διὰ τὴν οἰκείαν χρηστότητα.

Τῷ πανυπερσεβάστῳ Βρυεννίῳ, τῷ γαμβρῷ τοῦ βασιλέως. Ἐπιστ. μα'.

Δεῦτε ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν, πάντες οἱ φοβούμενοι τὸν θεόν, ὅσα ἐποίησε τῇ ψυχῇ μου ὁ τῷ ὄντι πανυπερσέβαστος. ἤδη γὰρ καὶ οἱ μὴ φοβούμενοι· οἱ μὲν ὡς συνηθέντες ἔτι προσκόπτοιτε. καὶ πρὸς ἐκεῖνον βλέποιτε μόνον, ᾧ καὶ ἡμεῖς θαρρήσαντες οὐκ ἐψεύσθημεν. καὶ ὁ πανάγαθος οὗτος τὰ πρὸς ἀγαθοποιΐαν διακονεῖ δραστικώτερον. ἐμὲ γάρ τοι τῶν εἰς ᾅδου καταβαινόντων τεταγμένον μὲν ἤδη, καὶ τῷ σκότῳ τῆς ἀθυμίας ἐγκατεχόμενον, ἐπὶ τὸ τῆς ζωῆς εὐθυμίας φῶς ἀνήγαγε καὶ ἀποκατέστησε. καὶ τὸν βασιλέα ἥλιον περιεποιήσατό μοι θαλπνότερόν τε καὶ ζωτικώτερον. καὶ οὐκ ἔδωκε τῇ κακίᾳ κεφαλὴν ἆραι κατὰ τῆς ἀληθείας, καὶ στεφανῶσαι ἑαυτήν, καί τοι ἀνοιγούσῃ στόμα. ὑποψιθυριζούσῃ καὶ ἀλαζονευομένῃ ὡς καταλελειμμένα ὠὰ ἀρεῖν τὰ ἡμέτερα. τοιαῦτα γὰρ ἐφρόνει διὰ τῶν αὐτῆς ὑπουργῶν. οἱ γὰρ γλῶσσαν ἡμῶν εἰπόντες μεγαλυνοῦμεν. τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι. τίς ἡμῶν κύριός ἐστιν, ἰόν τε ἀσπίδων καθ' ἡμῶν ἀποπτύσαντες, τὴν δὲ σεπτοτάτην τοῦ βασιλέως ψυχὴν ἐπικέραναν. καὶ τὰ τῆς ἐκκλησίας ἡμῶν ἐνέκρωσαν. καὶ τούτων πάντων αἰτία ἡ τῶν πρακτόρων ἀπληστία καὶ κακοήθεια. οἱ γὰρ κοπίδα τῆς ἐμῆς γλώττης τὰ νεῦρα τῆς ἀδικίας αὐτῶν ὑποτεμνομένην οὐ φέροντες, συνέλαβόν τε πόνον, καὶ ἔτεκον ἀνομίαν. καὶ τοῦτο μὲν αὐτοπροσώπως τῷ κρατίστῳ ἡμῶν βασιλεῖ κατὰ τῆς ἐμῆς ἐνέτυχον οὐθενότητος, τὰ ἀνούσια οὐσιώσαντες, τὸ ψεῦδος στολίσαντες πομπικώτερον, καὶ ἰσχὺν ἡμῖν ἀνίκητον ἐπιμαρτυρήσαντες. καὶ σὺν τοῦ μύθου ἑκατόγχειρας ἐκείνους ἢ ἑκατογκεφάλους Βριάρεως ἢ Τυφῶς λήρους εἶναι

πρὸς ἡμᾶς πείσαντες. ὡς ἂν τούτῳ τὴν παῤῥησίαν ἡμῶν κολούσωσιν. ἧς ἡ ὀξύτης ταῖς αὐτῶν καρδίαις ἐνδύουσα, φρίττειν ἐποίει, καὶ τὰς χεῖρας συστέλλεσθαι. τοῦτο δὲ καὶ διαπαρενθέντων προσώπων τὴν συκοφαντίαν οὐρανώσαντες οἱ ταρτάρου ἄξιοι. τὸν Λάζαρον, ὃς πάροικος ὢν τῆς ἐκκλησίας, καὶ φρονῶν ἐλευθεριώτερον, ἐπόθει τὸν τῆς παροικίας ἀπαυχενίσαι ζυγὸν, τοῦτον καθ' ἡμῶν ἐπιῤῥώσαντες, καὶ ὅσα τε λέγειν καὶ οἷα διδάξαντες, καὶ τὰς ἀκοὰς τοῦ βασιλέως ἐπλήρωσαν, καὶ τὴν καρδίαν τὴν τέως λευκὴν ἡμῖν ἐμελάνωσαν. ἅπαξ οὖν οὗτος ὁ Λάζαρος ἰδὼν ἑαυτῷ μὲν κατὰ ῥοῦν χωροῦντα τὰ πλάσματα, ἡμῖν δὲ πρὸς ἀνάῤῥουν βιαζόμενα τὰ τῆς ἀληθείας πράγματα, οὐκ ἀνίησι τῇ φύσει καθ' ἡμῶν χρώμενος. φύσις δὲ Βουλγαρικὴ πάσης κακίας τιθηνός. ὅς γε οὐκ ἀποχρῶν αὐτῷ εἰ συνασπιστὰς Ἀχριδιώτας ἐπὶ τὸν πρὸς ἡμᾶς ἐπάγοιτο πόλεμον, καὶ τὰς ἄλλας τῆς Βουλγαρίας χώρας περινοστεῖ. καὶ ζητεῖ λίαν ἐπιμελῶς, εἴ τις εἴη καθ' ἡμῶν ἐπὶ αἱρέσει καταγνωσθεὶς ἢ ὡς πολύγαμος, ἢ ἀθεμιτόγαμος, ἐκκλησιαστικοῖς δεσμοῖς ἐνδεθείς. εὑρὼν δὲ πολλοὺς τοιούτους ἐπάγεται καθ' ἡμῶν ὡς Ἀχριδιώτας, ἐπ' ἀγροῖς καὶ ἀμπελῶνι παρ' ἡμῶν ἡρπασμένους, τὰς ψυχὰς διαπεπονημένους. ἔστι δ' οὓς καὶ ἐν τῇ πόλει εὗρον ἐπ' ἄλλαις αἰτίαις δεομένους τοῦ βασιλέως συνεπιβοᾶν πείθει. ὥστε δυσφημεῖν τὸ ἐμὸν ὄνομα οἶδε γὰρ, κατὰ τῶν μηνίγγων μετόπων, εἰ μόνον ἐκβοήσεις ποιοῖτο κατὰ τοῦ ἀρχιεπισκόπου τὸν βασιλέα ἐπικαλούμενος, δι' ὧν ἡ ἐμὴ δόξα καταῤῥυπαίνεται. ἤ, ἵνα τὰ τοῦ πνεύματος εἴπω, εἰς χοῦν κατασκηνώσεται. ἔναγχος γοῦν ἐμπρησθῆναι παρ' ἐμοῦ ἰσχυρίσατο, καί τοι μηδόλως μηδ' ὑφ' οὑτινοσοῦν ἐμπρησθείς, μηδ' ἔχων ὅτι καὶ ἀπολέσῃ. ἅτε γὰρ μηδὲν

ἔργον

ἐργαζόμενος, ἀλλὰ περιεργαζόμενος, καὶ τὸ τοῖς πράκ-
τορσι προσαναχρώννυσθαι τέχνην ποιούμενος. καὶ κατὰ τῶν
κοινῶν σοῦ τραπεζεῖς καὶ συναμένους πρὸς ἓν μόνον ὁρῶν,
ὅτι ἂν ἐπιῤῥιφείη παρ' ἐκείνων αὐτῷ, καθυλακτοῦντι μὲν
πρότερον, ὑπερυλακτοῦντι δὲ ὕστερον, καρκινάδος ἐστὶ
γυμνότερος. καὶ εἰ ἐνεπρήσθη δὲ, οὐδὲν πρὸς ἐμὲ τοῦτο, οὐ
μᾶλλον ἢ τὰ ἐν Λιβύῃ πρὸς σοῦ κατὰ τὴν Νύσαν Ἰν-
δούς. τοῦ γὰρ Ἀχρίδος ἀποδημῶν, ὅτι φησὶ τὸ δεινὸν αὐ-
τὸς παθεῖν ἐκεῖνο τὸ ἀνυπόστατον, τρόπον ἕτερον τῇ Πελα-
γονίᾳ ἐνεδήμου, νόσῳ βαρείᾳ κατείχετο. εἶτα τί οὐκ
ἂν εἴποι τῶν ἀδηλοτέρων. καὶ ἐχεγγύως πιστώσαιτο, ὁ τοῖς
οὕτως ἐνεργέσιν ὁμόσε χωρῶν. τὸν δέ γε βασιλέα, καί τοι
στεγανώτατον ἄνθρωπον ὄντα, καὶ οὐ ῥᾴδιον διδόναι ψευδο-
λογίαις, ἴμως κατεμάλθαζεν ὁ παμπόνηρος. τί μὲν οὐν
σχηματισάμενος. τί δ' οὐκ ἀνακλαυσάμενος. τίνος
δὲ ὅρκου φεισάμενος. ἵν' ἐξάρῃ τὸν ἐμπρησμόν. καὶ πείσῃ,
ὡς τὰ τοιαῦτα παρὰ τοῦ ἀρχιεπισκόπου ὑπέστη, τῆς πρὸς
τὸν * * εὐνοίας, ἣν ἔφερεν ἐκεῖνος, ἀντίποινα. ἔτι καὶ
χέεσθαι μέν τοι τὰς ὁδοὺς τυρῷ, τὰ δὲ ὄρη μου χέεσθαι γά-
λακτι. καὶ ταλάντων οὐκ οἶδ' ὁπόσων συμπερασμοῖς ἀδρὸν
εἶναί με καὶ βαθύπλουτον διωμόσατο. καὶ ἄγειν σατραπικῶς,
μᾶλλον δὲ καὶ πικροπρεπῆ φανῆναι ἄν. καὶ τὰ Μηδικὰ τοῖς
ἀρχιεπισκόποις παρατεθεωρημένα, καὶ τὰ ἐν Σούσοις καὶ Ἐκ-
βατάνοις βασίλεια καλύβας ἀτεχνῶς πρὸς τὰ ἐμὰ πο-
λυόροφα. καὶ σοῦ ῥιπιστοὺς οἴκους, οἷς ἐνθερίζων, ἀναψύ-
χω τὴν τῶν ἐπιφαινομένων μοι σαρκῶν κάμινον. ἃ δὴ
πάντα καὶ γνώμης δαιμονιώδους συμπλάσματα, καὶ γλώσ-
σης κακολογεῖν μόνον μαθούσης φάρμακα. ἐκτὸς γὰρ τῆς
περιλαλήτου γῆς οὐδὲν τῶν δημοσιακῶν εὑρέθην κατέχων,
ὁ πολὺς ἐγὼ τὴν ἰσχὺν, καὶ τοῖς Ἀλωάδαις ἐφάμιλλος.

καί τι ἐπηρεαστικῶς ἐρευνώμενος καὶ λογοπραγούμενος. μὴ γάρ μέ τις ἐρήμην αἱρείτω τὰς τοῦ πράκτορος κατ' ἐμοῦ διαβολὰς πιστὰς αὐτόθεν δεχόμενος. ἀλλὰ πρὸς ἅπερ ἂν ἐκεῖνος ἐρεῖ, μενέτω καὶ τὰς τοῦ τῆς ἐκκλησίας μέρους ἀπολογίας. ὃ δὴ καὶ μάλιστα τῆς βασιλείας συνδέομαι, οὐδὲν καινὸν αἰτῶν, οὐδὲ τῇ ἁγίᾳ καὶ θειοτάτῃ ψυχῇ τοῦ βασιλέως ἀσυνήθες, ἀλλ' ὅπερ ἐπὶ πᾶσι τηρεῖ καὶ πάντη τε, τοῦτο καὶ ἐπ' ἐμοὶ ζητῶ τηρηθῆναι. καὶ μὴ προληφθῆναι τοῖς λόγοις τοῦ ἐχθροῦ καὶ ἐκδικητοῦ. εἰ μὲν γὰρ ἐκ τῶν κληρικῶν προσαγαγεῖν φησὶ κέρδη τῷ * * * οὐ φροντὶς Ἱπποκλείδῃ. οὐ γὰρ παρὰ τοῦτο ἐγὼ ὑπεύθυνος. πρῶτον μὲν, ὅτι οὐδὲ πρότερον παρ' ἡμῶν ἐκερδαίνοντο. ἀλλ' ἐν ζευγαρίοις ἕκαστος ἐξκουσεύοντες, τὰ ἐπέκεινα τούτων ἐπετέλουν τῷ δημοσίῳ. ἔπειτα ὅτι ἐπὶ πᾶσι τοῖς ζώοις πρὸ τούτου εἶχον ἀπηλλάχθαι δεκατώσεως. καὶ τοῦτο οὐ κλοπὴν δήπου τοῦ ἡμιόου, θείη ἄν τις ἀγνωμονῶν κριτής. ἀλλὰ βασιλικὴ φιλοτιμία ἀπροσδιόριστον. ἧ ἀφθόνως ἀπήλαυον οἱ ταύτην εὑρίσκοντες. νῦν δὲ τῆς φιλοτιμίας ταύτης ὅρον λαβούσης, καὶ τάξιν γνώριμον, εἰκότως ἐπέκεινα τοῦ προδιορισμοῦ τῷ δημοσίῳ τι προσεπορίσθησαν. καί τινα ὄγκον τῇ ἀπαιτήσει προσέθηκαν. τρίτον ὃ καὶ δακρύων ἄξιον, ὅτι οὐδὲ τῆς ἐφ' ἑνὶ ζευγαρίῳ ἀτελείας οἱ πλείους, οὐδὲ τῆς ἐπὶ τοῖς ζώοις ἐλευθερωθείσης ἐξουσίας ἀπήλαυσαν. ἀλλὰ καὶ προστεθέντων αὐτοῖς παρὰ τοῦ μᾶλλον καταγραφέως ἢ ἀναγραφέως, ἵν' εἴπω τι καὶ γελοῖον, ζευγαρίων καὶ ζώων, οὐ μόνον ἀπῃτήθησαν ἐφ' οἷς ἐδικαιοῦντο ἀπλῶς μεῖναι, ἀλλὰ καὶ ὑπεραπῃτήθησαν. τοῦτο δὲ καὶ ἐπὶ κεφαλαίων ἄλλων ἔπαθον ἀνομώτατα. καὶ γὰρ ἐπί τε τοῖς μύλοις διπλασίω οἱ κληρικοὶ ἢ οἱ λαϊκοὶ ὑπετέλεσαν. καὶ ἐπὶ τῶν Βουλγάρων μὲν γλώτταις λεγομέναις στρούγαις,

Ἕλλην δ' ἀνὴρ διώρυχας ἂν ταύτας ἐρεῖ, ἰχθύων ἄγραν προξενούσας, καὶ ἐπὶ ταύταις δὲ πολλαπλασίω τοῦ τοῦ κοινοῦ πλήθους ἐζημιώθησαν. καὶ ταῦτα ἐπετεχνάσατο ὁ πιστὸς καὶ εὐσεβής, ὡς ἂν ἐγκωθείη τὰ ἐκ τῶν κληρικῶν προσαχθέντα κέρδη τῷ δημοσίῳ καὶ διαβληθείην ἐγώ, ὡς τοσαύτην ἐτήσασαν ζημίαν τῷ εὐεργέτῃ καὶ ἀντιλήπτορί μου περιποιούμενος, ὁ ἀχάριστός τε καὶ ἄπληστος. ταυτὸ δὲ τοῦτο λέγω καὶ περὶ τελῶν, ἃ τοὺς ἀνθρώπους τῆς ἐκκλησίας ἀπῄτησε. καὶ γὰρ καὶ οὗτοι ἀδικωτάτως ἀπῃτήθησαν, μοναχοί τε ὄντες, καὶ εὐνοῦχοι ἱερωμένοι· ἔτι δὲ καὶ λαϊκοί τινες, οὐ πλείους οἶμαι τῶν πέντε, ἅπαντες μηδὲν τοῦ δημοσίου νεμόμενοι, οἳ πῶς ἂν ἄξιοι νομισθεῖεν φορολογεῖσθαι. οὐδὲ γὰρ οὐδὲ βασιλεὺς τοῦτο δύναται. ἐμὲ δὲ αὐτὸν οὕτω μεγαλοπλεθέστερον εἰσεπράξατο, ὡς μή μοι καταισχύνῃ τὸν ὄγκον τοῦ ἀξιώματος. ὥστε ὑπὲρ μὲν καθῃρημένων πρόπαλαι μύλων πάντως ἀπῄτησεν. ὑπὲρ δὲ συνισταμένων διπλασίω ἢ τοὺς Βουλγάρους. καὶ ἐπί τινι τοπαρείῳ λιμναίῳ, ἰχθύων ἄγραν διδόντι πένησιν, τρισκαίδεκα κεφαλαίων ἐκτὼ κατὰ θέας ἐξεβιάσατο, οὐ πλείους ἢ ἑνὸς διωβόλου ἀξίους ἰχθύας ἐκεῖθεν λαβόντα. καὶ ταῦτα τῶν ἄλλων ἑκάστου ἐν διώβολον καταβαλλομένων ἐπὶ τοῖς ὁμοίοις τόποις. ἔτι τῆς ἐκκλησίας τῶν ζώων ἐξουσίαν ἀδρῶν τε καὶ λεπτῶν ἐχούσης ἐκ δωρεᾶς βασιλικῆς, οἱ ῥηθέντες ἄνθρωποι ταῦτα ἐδεκατώθησαν ἐφ' οἷς εἶχον ζώοις ὀλίγοις πάνυ παρ' ἐμοῦ δοθεῖσιν αὐτοῖς εἰς βραχεῖαν παράκλησιν. καὶ ἵνα τὰ πλείω παρῶ, μὴ καὶ λογισθείην ὁ τῆς παροιμίας Ἀράβιος αὐλητής, τὴν ἔναγχος ἀπολυθεῖναι τῆς ἀγαθότητος ὑμῶν πρόσταξιν, ἄχρηστον ἐπὶ πᾶσιν ἐποίησεν. ἐπὶ μὲν τῷ χωρίῳ μυριοτρόπως ἐκφοβῶν τε τοὺς χωρίτας, ὡς ἐπιθήσων αὐτοῖς τέλη ἑκάστῳ, μείζονα τῆς δυνάμεως, εἰ τὴν ἀρχιε-

πισκοπὴν

πισκοπὴν αὖθις δεσπότην αἱρήσονται. καὶ ἄλλο δὲ κακουργῶν τὸ μὴ παραδιδόναι τῇ ἐκκλησίᾳ τοὺς ἐν τῷ χωρίῳ περισσούς. ὑπὲρ ὧν ὀφείλει τελεῖν τοιαύτην βασιλικὴν πρόσταξιν. ζητούντων γὰρ ἡμῶν ἀναγραφῆναι τούτους, καθὰ ἕκαστος εὐπορεῖ, εἶτα παραδοθῆναι ἡμῖν, αὐτὸς ἀγριαίνων, καὶ πρὸς μόνην τὴν ἡμετέραν ἀξίωσιν ὑβριοπαθῶν, κἂν τὸν πρῶτον, φησίν, ὡς ἕβδομον τελεσθῆναι παρὰ τῆς ἐκκλησίας ἐν καιρῷ συντελείας αἰτήσω, καὶ ἄκοντες τοσοῦτον ὑποτελέσετε. τίς γὰρ τῷ βουλήματί μου ἀνθέστηκε; τίς δέ με κρινεῖ, εἰ τὸν τόσου ἄξιον τοσοῦδε τιμῶμαι; καίτοι τὴν σοφωτάτην Ἰουδὶθ ἐγίνωσκον ἔγωγε μόνῳ θεῷ προσάδουσαν τό, εἶπες, καὶ ἐγένοντο. ἐνενόησας, καὶ παρέστησαν. ὁ δὲ ἑαυτὸν μερίτην ποιεῖται τῆς μακαριότητος ταύτης. ὁ τίς. ὁ ποῖος. ὁ πόσος. ὁ πηλίκος. οὗ ὑποκάτω αὐτοῦ σῆψιν στρώσουσιν. ἔτι καὶ ταῦτα προστίθησιν, ὅτι καὶ ἐπὶ τοῖς δεδωρημένοις τῇ ἐκκλησίᾳ παροίκοις, οὓς καὶ αὐτοὺς ἀδικώτατα ἀναγραψάμενος ηὔξησεν, οὐδενὸς ἄλλου ὅτι μὴ ζευγαρίου μόνου παραχωρήσει τῇ ἐκκλησίᾳ. τῶν δὲ ἄλλων πάντων κεφαλαίων αὐτὸς ἀνθέξεσθαι ἀπειλεῖ. ὃ προδήλως οὐ βούλεται ἡ ἐπὶ τῇ παραδόσει τοῦ χωρίου πρόσταξις. καὶ ταῦτα ποιεῖ ὡς ἂν ἀηδισθεὶς ἐγὼ διὰ ταῦτα περὶ τὴν τοῦ χωρίου παράκλησιν ἀργότερος γένωμαι, κἀντεῦθεν δεσπότης τούτων ὁ τῶν ἑταίρων χαριέστατος αὐτοῦ Λάζαρος. ἐπὶ δὲ τῇ παραδόσει τῆς γῆς, τότε τῆς σχοίνου μέτρον κολοβοῖ. καὶ ἔτι περὶ τὴν τοῦ μοδισμοῦ συναρίθμησιν ἀμαθέστατα πράττει. πόθεν γὰρ αὐτῷ γεωμετρίας λόγους εἰδέναι; καὶ τί ψάμμου ἀριθμόν, καὶ σταγόνας ὑετοῦ ἀναγράφομαι; κατὰ πάντα τρόπον, καὶ τόπον, καὶ αἰτίαν, καὶ χρόνον, καὶ πρᾶγμα, καὶ πρόσωπον, ζημίας μοι καὶ βλάβας ἐπιτεκταίνει ὁ δικαιότατος.

καὶ

καὶ μώμους ἐπιτρίβειν τεχνάζεται, δι' ὧν οἶδε μάλιστα τὰ οἰκεῖα σκέμματα κατορθούμενα. ἐφ' οἷς ἅπασι δέομαι τόπον ἀπολογίας τηρηθῆναι κἀμοί, ὡς εἴρηται, καὶ μὴ τοὺς τούτου λόγους ὡς χρησμοὺς ὑποδεχθῆναι. λυθεισῶν γὰρ τῶν σκιῶν, περιστάσει μὲν ἡ ἀλήθεια τὸ προσωπεῖον τοῦ λέοντος, δείξει δὲ πίθηκον ὑποκαθήμενον δύσμορφον. ἐπὶ πᾶν δέομαι, πρόσταξιν γενέσθαι ἐφιεῖσαν μοι ἀκώλυτον τὴν ἐντεῦθεν ἐξέλευσιν ἢ ἀνάρρυσιν. ὡς ἂν μὴ τῇ ἀθυμίᾳ καταπέσω. οὐ γὰρ δὴ λίθων ἰσχὺς ἡ ἰσχύς μου. ἀφαιρεθείην τὴν ψυχὴν ἄωρον ὃ, μηδὲν μή τι θεὸν τοῦτό γε τὸ μέρος, μή τι τὴν βασιλείαν ὑμῶν παρανομήσας ὅλως, ὡς οἶμαι.

Τῷ κυρίῳ Ἰωάννῃ τῷ Περιβλεπτηνῷ.
Ἐπισ. μβ΄.

ΤΙ' δὲ οὐ μέλλω ἀφεῖναι τῷ οὕτω μὲν εὑρόντι τὴν ἁμαρτίαν, οὕτω δὲ καὶ μισήσαντι, ὥστε δημοσιεῦσαι ταύτην διὰ τῆς δικαιούσης ἀγορεύσεως. εἰ δὲ δεῖ τἀληθὲς ἐρεῖν, οὐδὲ ἀφεῖναι τοῦτό ἐστιν. οὐ γὰρ ἔγκλησις προηγήσατο. ἀλλὰ καὶ τοῦτο τῆς σῆς εὐγνωμοσύνης ἂν θείημεν. δι' ἣν σαυτοῦ κατήγορος ἐν πρωτολογίαις γέγονας. ὡς ἔγωγε τὴν μακρὰν ἐκείνην ἀποσιώπησιν οὐ σὸν ἐποιούμην ἔγκλημα, ἀλλὰ τῶν ἐμῶν ἁμαρτιῶν ἔνδειγμα. δι' ἃς τῶν φίλων καὶ τῶν πλησίον οἱ μὲν ἐξ ἐναντίας ἔστησαν. καὶ ταῦτα δὴ τὰ τοῦ Ἰὼβ ἔλεγεν. οὐ προσεποιήσαντό με οἱ ἐγγύτατοι, καὶ οἱ εἰδότες μου τὸ ὄνομα ἐπελάθοντό μου. καὶ ὁ κύριος ἐποίησέ μοι οὕτως. δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο. ἀλλὰ γὰρ ἐπειδὴ τὰς πύλας τοῦ φίλου καὶ προσηγόρου στόματος ἡμῖν ἀνεπέτασας, μή μοι μηκέτι κλείσῃς ταύτας ἀπο-

 τυφλώξας.

νυστάξας. ἢ νῦν ἂν ἐγκληθείης ἐπιμεμπτότερόν τι καὶ δικαιότερον οὐ διὰ τὴν ὑπόληψιν μόνον, ἣν ἐγκατέθου τῷ τὴν συγγνώμην αἰτοῦντι γράμματι. καὶ γὰρ εἴδεις ὡς οὐ μικρά σοι ἡ ἐκ τῆς παραιτίας προσείρησις. εἰ μή με διακώσασθαι μελετώσης τῆς περὶ τῶν ἐπερωτήσεων μικρολογίαις, καὶ διαπτήξει, αἷς ὑμεῖς τοὺς ἀγροικοτέρους ἡμᾶς ἀπάγετε, ἐν τοῖς Λατίνων λέξοις ἐνσεμνυνόμενοι. οὔκουν διὰ τὴν ἐπαγγελίαν μόνον τοῦ γράφειν μὴ γράφων ὕστερον ἐγκληθήσῃ, ἀλλ' ὅτι οὐδὲ ἀγνοεῖς ἡμᾶς νῦν εἴπερ ποτὲ τῆς τῶν φίλων λαλιᾶς χρήζοντας, οὐχ ἧττον ἢ τοὺς νοσοῦντας νόσον δυσίατον Ἀσκληπιοῦ τινὸς ἢ Παιήονος. μὴ γάρ μοι τὰ παρ' ἐμοὶ λέγε φάρμακα, μηδ' ὅτι παρ' ἐμαυτοῦ τὰς πυξίδας ῥύτων ἔχων, ἀταλαιπώρως τὸ πρόσφορον ἀναλέξομαι· καὶ ἢ ἐγκεράσας, ἢ ἐπιχρίσας, ἢ ἐπιπλάσας τῷ νοσήματι ἀντιπαλαμήσομαι. οὐδὲ γὰρ οὐδὲ τοὺς τοῦ σώματος ἰατροὺς ἑαυτοῖς ἀρκοῦντας κατὰ τῶν οἰκείων νοσημάτων εὑρίσκομεν, ἀλλ' αὐτὸ δὴ τοῦτο ποιοῦντας τὸ τῶν ὀφθαλμῶν. εἰ τὰ τῶν ἄλλων ὁρῶντες, πρός γε τὸ σφᾶς αὐτοὺς ἰδεῖν, ἄλλων δέονται. γράφων τοίνυν ὡς ἔνεστι θαμινώτερον. τὰ φλεγμαίνοντά μοι κατάψυχε, καὶ τρόπους ὑποτίθει φαρμακιῶν, καὶ πάντοθεν βοήθει τῷ κάμνοντι. οὕτω γὰρ ἂν τῷ τε λόγῳ κεχαρισμένα τελοίης, ᾧ σαυτὸν ἀνατέθεικας. καὶ σεαυτῷ ἀκολουθῶν εὑρίσκοιο, οὓς παρὰ σοῦ μεμάθηκα λέγεις. καὶ τῆς σῆς ἀξιῶν παρακλήσεως. εἰ μὲν πολλοῦ καὶ μεγάλου, ὅτι τοιούτων ἄξιοι. εἰ δ' ὀλίγης τε καὶ μικρᾶς, ὅτι οὐδὲ τὰ τοιαῦτα παρωθοῦνται οἵ γε ἀληθῶς ἄξιοι.

Τῷ

Τῷ ἀδελφῷ τοῦ βασιλέως, κυρίῳ Ἀδριανῷ.

Ἐπισ. μγ΄.

Καὶ ἐβοηθήθην παρὰ τῆς ἀσυγκρίτου μεγαλότητος· καὶ ἀνέθαλεν ἡ σάρξ μου καὶ χάρις τῷ τὴν σὴν ψυχὴν χαριτώσαντι, ὥστε ταύτης ἔλεος καὶ ἀλήθειαν προπορεύεσθαι, αἷς πάσας τὰς θείας ὁδοὺς περιορίζεσθαι μεμαθήκαμεν. ὡς ἐμοί γε ἐξετάκη μὲν ἡ ψυχὴ ὡς ἀράχνη. ὁ δὲ βίος τοῦτο δὴ τοῦ Ἰὼβ, λαλιᾶς ἦν ἐλαφρότερος· καὶ κατὰ τὸν Ὡσηέ. παράκλησις ἐκρύβη ἐξ ὀφθαλμοῦ μου, ἐπεὶ υἱοὶ τῆς ἀπειθείας ἦσαν, διὰ τοῦτο δὲ καὶ τῆς ἀπωλείας· οἱ ἄστοργοι, καὶ ἄσπονδοι, καὶ ἀσύνθετοι. καλὸν γὰρ αὐτοὺς τοῖς ἐκ τοῦ Παύλου καὶ τοῦ πνεύματος ὀνομάζεσθαι. ἠγάπησαν μὲν πάντα ῥήματα καταποντισμοῦ γλώσσης δολίας. ἐνέτειναν δὲ τόξον αὐτῶν πρᾶγμα πικρὸν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. καὶ μὲν τί κατήξασιν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. σὺ δὲ ὑπέλαβές με, καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ· ἀλλ' ἐνεδύσω ὡς πανοπλίαν τὸν ζῆλον σου, καὶ διεῖλες συντετριμμένον ἐπ' ἰσχύϊ, ὅ φησιν ὁ θεῖος Ἀμώς. καὶ ταλαιπωρίαν ἐπήγαγες ἐπὶ τὸ τῆς συκοφαντίας ὀχύρωμα, ὃ ἐθεμελίωσε μὲν περιττοτέρα κακοτεχνία· ὧν ὁ Μηδενὸς ὡς ἀρχιτεκτῶν τὰ πρῶτα φερόμενος, βαρεῖς καὶ δυσαποκινήτους λίθους ὑπέθηκε. ῥητὰ καὶ ἄρρητα καθ' ἡμῶν συμφορήσας, καὶ ῥίψας κατὰ τῶν βασιλικῶν ἀκοῶν· ἐπῳκοδόμησαν δὲ καὶ ὕψωσαν οἱ μετ' αὐτὸν τὰ τῆς Ἀχρίδος ἄχρι καὶ ἐπ' ἐδάφους κατασκάψαντες· οἷς εἰς ἔλεγχον ὢν ἐγὼ, ὁ πάντα περιττὸς καὶ περίεργος, καὶ ἀπεχόμενος τῶν ἐδῶν αὐτῶν ὡς ἀπὸ ἀκαθάρτων, βαρὺς ἦν αὐτοῖς καὶ βλεπόμενος. διὸ καὶ τὴν τιμήν μου ἐβουλεύ-

σαντο ἀπώσασθαι. ἔδραμον ἐν δίψῃ, καὶ αὐτοί τι τῷ κρατίστῳ ἡμῶν βασιλεῖ, καὶ περιποθήτῳ σου ἀδελφῷ, ὡς πολυδύναμόν τινα καὶ μεγαλοδύναμόν με διέβαλον. καὶ τόσαις καὶ τόσαις προσόδοις κερδαλέαις ἐμπλατυνόμενον, καὶ ταῖς ὁδοῖς ἐπιβρίθοντα. τοῦτο πάντως τεχναζόμενοι, τῆς πρὸς αὐτὸν παῤῥησίας με ἐκβαλεῖν. ἐφ' ἧς ὡς ὑπερδεξίου ἐπιβάθρας ἱστάμενος αὐτοῖς διεπύκτευον, καὶ ἀποπίπτειν τῶν διαβουλίων αὐτῶν ἠνάγκαζον, ὅσα χερσὶ δραστηρίοις τῷ λόγῳ χρώμενος. καὶ τοῦτο ποικίλως κατὰ τὴν τῆς οἰκονομίας διάκρισιν. τούτῳ δὲ τῷ Λαζάρῳ, οἶδα δὲ τοῦτον. τίνι δὲ οὐ γνωστὸς ἐκ τῶν περὶ ἐμὲ κακουργημάτων. ὡς ἐκεῖνος ὁ περιπόνηρος, ὃς ἐξ ἀσήμων ἐπίσημος γενέσθαι βουλόμενος, τὸν ναὸν ἐνέπρησε τῆς Ἐφεσίας Ἀρτέμιδος. τούτῳ τοίνυν ὑπηρέτῃ χρησάμενοι, πάντα ὅσα βουλομένοις ἦν αὐτοῖς, δι' αὐτοῦ κατειργάσαντο. ὅς τ' ἄλλα μὲν ἐστὶ κηφήν ἐστι κοθούροις εἴκελος ὁρμήν. εἰς τοῦτο δὲ καιρῶν, τὸ τοῖς πράκτορσι συμπράττειν, καὶ παρασιτεῖν αὐτοῖς, ἱμάτιά τε παρ' αὐτῶν, τῆς αὐτοῦ τέχνης ἐλευθεριώτερα, καὶ καθαριώτερα, καὶ τὰς ἄλλας δεξιώσεις ἐκδέχεσθαι, τροφὴν καὶ τρυφὴν ποιεῖται τὴν ἐμὴν μώμησιν. καὶ δὴ σπουδῶν, ὅτι πᾶν ἐμοὶ μᾶλλον φορητὸν, ἢ τοὔνομα βλασφημούμενον, τὴν ὀξεῖαν μάχαιραν τὴν γλῶτταν αὐτοῦ τῷ τῶν ἐμῶν καιριωτέρῳ ἐμπήγνυσι. καὶ ταῖς βασιλικαῖς ἀκοαῖς, ὢ πῶς εἴπω! τὸν βόρβορον τῆς αὐτοῦ ψυχῆς ἐναπερευγόμενος, πληροῖ μὲν ἀηδίας ἐκεῖνον τὸν ἡδὺν τῇ χρηστότητι, ποιεῖ δὲ ἀπονωτιᾶν πρὸς τὸν εἰς ἡμᾶς πολὺν ἔλεον. ἔναγχος γάρ τι ἐμπρησθῆναι παρ' ἐμοῦ ἰσχυρίσατο, καί τοι μηδόλως μηδ' ὑπό τινος οὖν ἐμπρησμὸν ὑποστὰς, μηδ' ἔχων ἁπλῶς ὅτι καὶ ὕλην τῷ πυρὶ δοῦναι, ἢ ἀπολέσαι. οὐ μᾶλλον ἢ κηφῆνες κηρίον μέλιτος.

λιτος. ἀλλὰ μηδ᾽ ἐμοῦ Α᾽ρχιερέως ἐνδημοῦντος, ἵνα, φησὶν αὐτὸς, ὑποστῆναι τὸν ἐμπρησμὸν, ὅμως οὕτω τὴν ἔγκλησιν ἐμόρφωσε, καὶ εἰδοποίησε τὴν ἀνείδεον, δακρύων τε κρουνισμοῖς, καὶ κεφαλῆς ἐπὶ γῆς ἐναράξαις, καὶ θρήνων ἀναπληνιασμοῖς, καὶ τοῖς ἄλλοις τοῖς ἐπιπλήκτοις Βουλγάροις. καὶ ταῦτα τὰ πάνδεινα παθεῖν ἀνεκλαύσατο διὰ τὸ εὔνους εἶναι τῷ δημοσίῳ, καὶ πρὸς τὴν ἀρχιεπισκοπὴν τυραννίδα πόλεμον ἄρασθαι. ὥστε κατ᾽ ἄκρας ἑλεῖν τὴν τοῦ βασιλέως συμπάθειαν. ταῦτ᾽ ἄρα καὶ ἐνεχειρίσθη τῷ πράκτορι τῶν πρακτόρων καθητὴς, καὶ ὁ κυριεύοντος ἡμῶν κύριος. Φέρονται τοίνυν καὶ ἄγονται τὰ ἡμέτερα. τὰ μὲν, ὑποβάλλοντος τὰ πρατώδη βουλεύματα. τὰ δὲ, τὰ ὑποβληθέντα γνησιώτερα ἀνατρέφοντος, καὶ ἁδρυνόντος. καὶ τὰ μὲν, τὸν σπόρον τῶν ζιζανίων τῇ καθαρότητι τῶν δικαιωμάτων τῆς ἐκκλησίας παρεισφοροῦντος. τὰ δὲ, καρποφοροῦντος. οὐκ εἰς τριάκοντα, οὐδ᾽ εἰς ἑξήκοντα. οὐ γὰρ οὕτως οὔτε ἡμεῖς δυστυχεῖς, οὔτε ἡ ἐκείνου γῆ μικρολόγος. ἀλλ᾽ εἰς ἑκατὸν τε, καὶ πλείονα. καὶ πάντας ἡμῖν ἐπανίστησιν, ὁ δὴ πιστός τε καὶ εὐσεβὴς, μισθοὺς τῆς ἐπαναστάσεως καὶ κατεγκλήσεως μέλι καὶ ποθητὸν αὐτοῖς ἐπαγγελλόμενος τὸν κουφισμὸν τῶν ἐπικειμένων τελῶν. τί δ᾽ οὐκ ἂν ἐξανύσειε πράκτωρ ἐξουσίαν τοῦτον ταπεινοῦν καὶ τοῦτον ὑψοῦν. ὃς τοσαῦτα παρὰ τῇ βασιλικῇ καρδίᾳ δυνάμενος, διὰ τὴν ζύμην τῶν Φαρισαίων, καὶ τὴν πρόκρισιν, ἥπερ ὅλον ἑαυτὸν συνέφυρεν, ὁ μηδὲν ἄζυμον ἔχων εἰλικρινείας καὶ ἀληθείας. ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, κατὰ τὸν ἅγιον εἰπεῖν Ἠσαΐαν, ἀλλ᾽ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. ὅς γε καὶ νυνὶ πάλιν τὸν Λάζαρον ἀναπέμψας σκέπτεται μετά τινων οἰκετῶν τοῦ χωρίου ἀποστατεῖν. οὓς ὅτι δεῖ λέγειν ἐδίδαξεν, προοιμιαζόμενος τὴν ἐπὶ τῷ χωρίῳ

τῆς τοῦ βασιλέως χρηστότητος πρόσταξιν ἄχρηστον ἐκτε-
λέσαι τῇ ἐκκλησίᾳ. καὶ τὴν ἡμετέραν ἀντίληψιν κενὴν
ἡμῖν καὶ ἀνένητον. μᾶλλον δὲ συμπεῖσαι τὸν βασιλέα τοῖς
ψεύσμασιν, ἃ ἐκ τῶν ἰδίων λαλεῖ, τὰς ἐπὶ τῇ ἀνταλλαγῇ
προστάξεις διώσασθαι, καὶ τὸν ἐπ' αὐταῖς γεγονότα χρυσόβου-
λον λέγειν ἀράχνης ἱστὸν ἢ γῆ παιδός. καὶ συνωμοσίας συγκρο-
τεῖ, καὶ βόθρους ὑπορύττει, καὶ διηγεῖται τοῦ κρύψαι παγίδα.
εἶπε τίς ὄψεται αὐτόν; καὶ τὸ πᾶν ὡς ἴσον ἐπὶ προδόξοις ἡμῖν
ἀποκέχρηται. εἶτα οὐδέν, εἰ οὗτος μὲν ἄτρυτος μὲν εἰς
τὴν κακίαν, καὶ ἀδαμάντινος, ἡ δὲ ὑμῶν ἀγαθότης πρὸς
τὴν τοῦ καλοῦ ἐξεργασίαν ἀποκαμεῖται. καὶ φανεῖται πλέον
ἔχων ὁ κοσμοκράτωρ τοῦ παντοκράτορος. ἐγὼ μὲν οὖν
οἶμαι. ἐκεῖνο δυσχεράνασα ἡ μισοπόνηρός σου ψυχὴ τῶν πρὸς
ὑμᾶς τοῦ ἀνθρώπου ἐμπαθῶν, ἀνεμνήσατο τὸν κραταιὸν
καὶ ἅγιον ἡμῶν βασιλέα τῆς αὐτοῦ βαθυγνωμοσύνης. δι' ἣν
οὔτε τῆς ἡμῶν ἀθλιότητος αὐτόθι καταψηφιεῖται διὰ
τὴν ἐπὶ τῷ πράκτορι πρόληψιν, ἀλλὰ καὶ ἡμῖν τηρήσει
θατέραν τῶν ἀκοῶν ἀκεραίαν. ὁ καὶ τῶν πρὶν Ἑλλήνων βα-
σιλεὺς ὡς ποιῶν ὑμνεῖται. καὶ τῷ παντὸς ἀγαθοῦ καὶ ἀρχηγῷ
καὶ πληρωτῇ εὐαγγελίῳ ἐχόμενοι διδασκόμενοι, μὴ ὁ νόμος
ὑμῶν λέγων κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ αὐτοῦ ἀκούσῃ
πρότερον, καὶ γνῷ τί ποιεῖ; οὔτε ἃ κατηγόρησαν, διὰ βε-
βαίων καὶ ἀπαραλογίστων προστάξεων τοῖς καθαιροῦσι
προσήσεται; θεὸς δὲ, ὁ καὶ τοὺς ἀδικουμένους ἐκ χειρὸς στε-
ρεωτέρας ῥυόμενος, ἢ αὐτόθι, ἢ διὰ τῶν ἀξίων ἀγα-
θουργεῖν, καὶ τοῖς ἀγαθοῖς ἀγαθύνων, ἀποτηροίη μέν σοι τοὺς
ὑπὲρ τῆς ἡμετέρας ἀναρρύσεως μισθοὺς εἰς τὸ μέλλον
ἐντελεστέρους. τηροίη δέ σε καὶ νῦν πάσης ἀνώτερον κακιώ-
σεως καὶ κακώσεως.

Τῷ ἰατρῷ τοῦ βασιλέως, τῷ Παντέχνῃ.

Ἐπιστ. μδ΄.

Χάρις πολλὴ τῷ λόγῳ, ὅτι τοὺς σοὺς ἡμῖν ἔτεκε, σοῦ αὐτοῦ χαρακτῆρας ἀκριβῶς σώζοντας. ἐπεὶ τοιοῦτος καὶ αὐτὸς εὑρέθης μοι, φίλτατε. καὶ ταῦτα ἐν οὕτω πονηραῖς ταῖς ἡμέραις, καὶ τέρατα τικτούσαις, ὁποῖα τὰ τοῦ Ἐμπεδοκλέους βουγενῆ ἀνδρόπρῳρα. ὅς γε καὶ ὑπερμαχεῖς ἡμῶν ἐνθυμότατα, καὶ μεγαλοπρεπὲς ἀποτιννύεις τὰς ἀντιδόσεις τῆς λογικῆς παιδεύσεώς τε καὶ ἀναθρέψεως, κἂν μὴ ἀρκῇς τελέως ἐξελάσαι ἐνθένδε κύνας κήρεσσι φορητοὺς, οἱ κατέφαγόν με, ἐμερίσαντό με, οὐχ ἧττον ἢ τὸν Ἀκταίωνα οἱ ἐκείνῳ τρεφόμενοι. ἀλλὰ μὲν οὖν πρὸς τὰς ὑλακὰς ἐκείνων ἐσχεδιάσαμεν, ὥστε τῷ βασιλεῖ ἀκουσθῆναι, ἀναγνώσῃ πάντως. θεοῦ δ' ἂν εἴη, τοῦ τῆς ἀληθείας πατρὸς, τὴν βασιλικὴν καὶ πρὸς ταῦτα φωτίσαι διάνοιαν. καὶ ἀπελάσαι μὲν τὸ τοῦ ψεύδους σκότος, πρὸς αὐτὰ δὲ θεῖναι τὰ πράγματα. οὕτω γὰρ ὁ τῶν ἁμαρτωλῶν βραχίων συντριβήσεται, ὁ δίκαιος κατευθυνθήσεται. ὡς νῦν γε τῆς ἐκείνων χειρὸς ἐνεργούσης ἅπαντα καὶ βούλεται. δέος μὴ διαστραφῇ καὶ ὁ δίκαιος, καὶ μάθῃ κακίαν, τῆς ῥάβδου τῶν πονηρῶν ἐπὶ τὸν αὐτοῦ κλῆρον ἀφιεμένης πληκτικώτερον. ταῦτα μὲν οὖν ἐκείνῳ ἀναθετέον, οὗ τῇ δικαιοσύνῃ καὶ τῇ φιλανθρωπίᾳ πεποίθαμεν. τῇ μὲν, ὅτι οὐδὲν αὐτοῖς ἡμῖν συνείδαμεν τῶν ἐφ' οἷς δυσφημούμεθα. τῇ δὲ, ὅτι ἐκεῖνον εἴδαμεν τοῖς ἰδίοις νόμοις ἑψόμενον, ἢ τῆς ἄλλης ἀνομίας ἡμῶν παραψόμενον. αὐτοῖς μέν τοι χρῶ τοῖς τῆς γλώττης βέλεσιν, ἃ παρὰ τοῦ λόγου λαβὼν ἔχεις εἰς καιρὸν ἀποτινασόμενα. καὶ βάλλε σὺ Αἰθίοπας ὁ ἐμὸς Ἀντίλοχος, τοῦ σοῦ περιϊστάμενος Νέστορος.

Τῷ φιλοσόφῳ, κυρίῳ Ἰωάννῃ.
Ἐπισ. με.

Οὐκ ἄρα μάτην ἐγὼ τὸν ἐμὸν, μᾶλλον δὲ τοῦ θεοῦ, Ἰωάννην πάντων τῶν φιλοσόφων ἀεὶ προέκρινα. ὅς γε τοσούτου ἐδέησε τούτων εἷς φανῆναι τῶν ποιουμένων νῦν τὸν φιλόσοφον, ὥστε τοῖς ἔργοις δεῖξαι τὴν πρὸς ἐκείνους ἀπόστασιν, ἣν διὰ πασῶν λόγῳ σώζουσι. τοῖς μὲν γὰρ οὐδὲν οὕτω σπουδαζόμενον ἐρῶμεν ὡς τὸ μισάδελφον. διὰ τοῦτο δὲ πάντως καὶ τὸ μισόθεον. τῷ δὲ, τοῦ φιλοθέου προὐστάθη κάτοπτρον, τὸ φιλάδελφον. ἡμᾶς γέ τοι πολὺς ἐξ οὗ χρόνος μήτ' ἰδὼν μήτ' ἐν τοῖς ἀναγκαιοτάτοις ἄγων, ἐπειδὴ συμφοραῖς εἶδες χρωμένους, καὶ συκοφαντίας ἐπηρείᾳ παλαίοντας, ἢ πολλῶν τι καὶ ἐσθλῶν γούνατ' ἔλυσεν, ἢ δ' ἔτι καὶ λύσει. τῆς γὰρ κράτος ἐστὶ μέγιστον. ἠξίωσε τοῦ πρώτου λόγου. καὶ ὡς αὐτὸς πάσχων καὶ πρὸς τοὺς λῦσαι δυναμένους τὰς συμφορὰς, ὑπὲρ τῆς τούτων ἀπαλλαγῆς πᾶσαν σπουδὴν εἰσηνέγκατο, καὶ τῆς ἡμῶν ὑπερηγόρησεν ἀθλιότητος. καὶ πᾶν ὅσον ἔδει αὐτός γε κατήνυσεν. οὐ ταύτης δὲ μόνον τὴν σοφίαν ἐχαρακτήρισεν, ἧς ἔχει δηλαδὴ τὴν φιλοσοφίας ἐπίβασιν. ἀλλὰ καὶ λόγοις ἐπέρρωσε πρὸς τὸ φέρειν εὐκόλως τὴν τῶν βαρυνόντων ἐπίθεσιν. λόγοις τινὸς μὲν οὐχ ἡδυτέροις κηρίου; τινὸς δὲ γεωμετρικῆς οὐ πιστικωτέροις ἀνάγκης; οὐ γὰρ πρὸς αὐτοῦ τὸ μὴ οὐχὶ τὸν σοφὸν φαίνεσθαι ἄρτιον, πράξει δὲ καὶ λόγῳ συντελειούμενον. ἀλλὰ γὰρ αὐτὸς μὲν αἰθέριος ἢ καὶ ὑπερουράνιος ἵπτασο, πτέρυγας ἀετοῦ περιαρμοσάμενος. ὅς τις ποτὲ οὗτος ὁ ἀετός. οἶμαι δὲ, ὁ κρείττων λόγος, καὶ βασιλεὺς πάντων ὅσοι πρὸς τὸ ἄνω κουφίζονται. σοῦ δὲ δὲ ἄφθη νίφειν ἕνα ἢ δύο, κἂν ἔτι

βλασφη-

βλασφημούντων ἡμᾶς τῶν τῆς ἀληθείας ἐχθρῶν, ἀκούσης καὶ καταπτυόντων ἐν σκοτομήνῃ καὶ τῷ τοῦ ψεύδους σκιάσματι σοῦ τά γε πρὸς αὐτοῦ εὐθεῖς τῇ καρδίᾳ. μὴ κάμοις τὴν γλῶτταν διδοὺς τῷ λόγῳ, καὶ θεῷ, ὅς ἐστιν ἀληθείας σύμμαχος. ἀλλ᾽ ὁ πρᾶος γενοῦ μαχητής. καὶ περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, καὶ τὸ τῆς διανοητικῆς δυνάμεως γόνιμον καὶ σοῦ μὲν ἐχθροὺς ἀποκέντει. ἡμῖν δὲ τὴν τῶν ἐν χρηστότητι παραμίλλων βασιλέων εὐμήνειαν ἐμβῦσαι στερροτέραν ἑκάστοτε παρεχόμενος, ἐκδέχου παρὰ κυρίου τὰς ἀμοιβάς, τοῦ τοῖς ἀγαθοῖς ἀγαθύνοντος· ὑφ᾽ οὗ καὶ τηροῖο ἐν πάσῃ ἀγαθωσύνῃ, καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ, εἰς ὃ καρπὸς τοῦ πνεύματος ἐπιπεπαίνεται.

Τῷ Περιβλεπτοτάτῳ, κυρίῳ Ἰωάννῃ.
Ἐπισ. μϛʹ.

ΤΟ σκαμβὸν ξύλον, ὦ καλὲ Ἰωάννη, οὐδέποτ᾽ ὀρθόν. ἀμέλει καὶ οὐδὲν βέλτιον, ὅτι μὴ κάκιον πέπραγε. ὁ γὰρ ἐχθρὸς ὁ αὐτός ἐστιν, καὶ οὐκ ἠλλοίωται· μᾶλλον μὲν οὖν κατὰ τῶν θηρίων, ὅσα διὰ τὸ ἀποβρηθῆναι πλέον ἀγριαίνουσι, καὶ οἷον μεμήνασιν, ἀφειδῶς τοῖς θυμοῖς καταχέχρηνται. καὶ προσφάτως θανατῶν δαιμονᾷ τὸ κάθαρμα. μόνην οὖν ἐπικλητέον ἐπὶ τοὺς οὕτως ἔχοντας τὴν ἐλάτειραν τῶν δαιμόνων δύναμιν. ἐκείνη γὰρ τῇ τούτου λεγεῶνι ἐπιτιμήσασα, τοῖς ἰδίταις ἡμῖν παρέξει τὴν τοῦ βίου ὁδὸν δειμάτων ὁδεύειν ἐκτός. εἰ δὲ καὶ τοῖς χοίροις ἐπιπέμψει τὸν τούτου φόρτον, καὶ σοῦ ἐπιστατουμένους ἀξίως. ὑπὸ τούτου Βουλγάρους ὥσπερ κατὰ τοῦ προσήκοντος αὐτοῖς κρημνοῦ οὐδὲν τοῦτο πρᾶγμα μόνον ἡμεῖς ἀκωλύτως τὴν οἰκείαν

ὁδὸν ὁδεύοιμεν. καὶ θεῷ τὰ διαβήματα κατευθυνοίμεθα. ὑφ' οὗ καὶ αὐτὸς πρὸς πᾶν ὁδηγοῖο καλὸν, τὰς δὲ τοῦ πονηροῦ παγίδας ὑπερπηδῶν.

Τῷ μαθητῇ αὐτοῦ, τῷ Παντέχνῃ, κυρίῳ Μιχαὴλ, τῷ ἰατρῷ.
Ἐπιστ. μζ.

ΟΥ'κ οἶδα πότερον συνησθήσομαί σοι, τέκνον μου, κύριε Μιχαὴλ, ἢ συναλγήσω ἐπὶ τῇ εἰς τὰ βασίλεια εἰσόδῳ. ἡ μὲν γὰρ τῶν πολλῶν δόξα, τὸ πρότερον ἡμῖν δίδωσιν. ἡ δὲ τῶν πραγμάτων ἀλήθεια, τὸ δεύτερον. ὡς μὴ ὤφελεν. ἀλλὰ γὰρ ἐπειδὴ γέγονεν ὃ γέγονε, καὶ ἀναλύειν οὐκ ἔνεστι, φρονήσεως δεῖ, ὥστε τὸ γεγονὸς μεταχειρίζεσθαι δεξιότερον. γένοιτο δ' ἂν τοῦτο, εἰ προσέχοιμέν τε πᾶσιν ὡς μέσῳ σκορπίων οἰκοῦντες. καὶ τοῖς ὑψηλοτέροις ἢ οὖσιν, ἢ δοκοῦσιν, ὑφιζάνοιμεν τεταπεινωμένοι. δεινὸν γὰρ ἡ πρόληψις, καὶ δυσεκμόχλευτον, ὡς ἂν ὑμεῖς φαίητε. καὶ μάλιστα, εἰ κακοήθει καὶ ὑπούλῳ τρέφοιτο καὶ ἀδρύνοιτο ξύνες ὅτι λέγω. ξεῖναι τυράννοις ἐκ ποδῶν μεθίστασο. μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο. ταῦτα μὲν, ταύτῃ. σὺ δέ μοι μὴ πρὸς τὴν πεῖραν ἀναξιοπαθήσῃς. ἀλλ' ὑποκλέπτων σαυτὸν ὡς ἔνεστιν ἄχρι καὶ τῶν ἐσχάτων συγκατάβαινε, καὶ πᾶσιν ἤπιος ἴσθι. καὶ ἡμέρως καὶ τιμητικῶς ὁμίλει. καὶ σπουδὴν καὶ ἐπιμέλειαν τοῖς ἐν χερσὶν ἀρρώστοις ἐνεπιδείκνυσο. καὶ ὁ θεὸς λαμπρυνεῖ σε. εἴ τι στοχαστικὸς ἐγὼ, καὶ οἷος τεκμαίρεσθαι. εὔφημος ἔσω σοι γλῶττα. καὶ κύριος τηροίη σε πάσης κακώσεως ἀνώτερον καὶ κακώσεως.

Τοῖς

Τοῖς παιδοδοθεῖσιν ὑπ' αὐτοῦ Βουλγάροις.
Ἐπισ. μή.

Ἐκλείπει μὲν μοι ἡ ψυχὴ τῷ πόθῳ τῶν τοῦ θεοῦ σκηνωμάτων. καὶ διὰ τοῦτο πτεροῖς ἂν ἐχρησάμην εἰ εἶχον τὴν πρὸς τὴν αὐτόσε ἔλευσιν, καὶ τῶν ποθουμένων ἀπόλαυσιν. ἀλλὰ γὰρ τῆς ἰσχιάδος ἀκούειν δοκῶ ἐκβοώσης, μένε ὦ ταλαίπωρε σοῖς ἐν δεμνίοις. διαγγέλλεται οὖν οἱ ἐμοὶ τοῖς ἐμοῖς τε καὶ οὐκ ἐμοῖς ὡς ἐξ ἐμοῦ στόματος. μείνατέ μου πρὸς βραχὺ τὴν ἀσθένειαν, ἐμὲ μὲν τὸν βαρὺν μετ' οὐ πολὺ κάτω θήσουσαν, ὑμᾶς δὲ τοῦ βαρουμένους ἀποφορτίσουσαν, καὶ μὴ δυνάμει κακίας πρὸς τὴν ἀπόθεσιν χρώμενοι, τοῦ τι βουλήματος ἀποτύχοιτε. οὐκ εὔκαιρον γάρ. καὶ τὸ κακοὶ φανῆναι προσκτήσησθε. ἀκόλουθον γάρ. τοῦτο δὲ πάντως ἄλλου βάρους βαρύτερον, τοῖς γε τὸν ἀγαθὸν ἐπονομαζομένοις Χριστόν. ὑφ' οὗ δοκοῦσι καὶ πλασθῆναι καὶ πλάττεσθαι.

Τῷ αὐτοκράτορι τοῦ δουκὸς Ἀτταλίας, κυρίῳ Ἰωάννῃ τῷ Ἀτταλιάτῃ. Ἐπισ. μθ'.

Οἶμαί σε χάριτας ὀφείλειν ἐμοί, λαμπρότατέ μοι ἐν κυρίῳ υἱέ. ὅτι σε νέαν ἔτι τὴν ἡλικίαν ἄγοντα πρὸς τὰς τῶν Μυσῶν θείας χάριτας ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην. καὶ τοῦτο τὸ χρέος οὐδ' ἂν αὐτὸς ἀπαρνήσαιο. ἢ ἀλλότριόν γε Μυσῶν ἀπεδείξας σαυτόν. ἐπεὶ οὖν ὁμολογεῖς, ἅπαν μοι τοῦτο διάλυσον ἐν τῷ τοῦ ἱερωτάτου μητροπολίτου Σίδης ἀντιλαμβάνεσθαι. οὗτος γὰρ δὴ τοσοῦτον ἡμῖν ἥνωται, ὥστε μηδὲ ἄλλος δοκεῖν παρ' ἐμέ, ἀλλ' αὐτὸς ἐγὼ εἶναι. ἔσῃ οὖν πρὸς τὸ ἀγαθοποιεῖν δέδωκέ σοι ὁ

ἀγαθὸς θεὸς διώκειν, πάτερ μοι συγκίνησον ἐπὶ τὸ ἀγαθῦναι τῷ τὰ πάντα καλῷ κἀγαθῷ τοῦ θεοῦ τούτῳ θρεμματίῳ· καὶ χρηστότατέ μοι γε, οὕτως ὀναίμην τῶν ἐπὶ σοὶ τὸ νῦν. οὕτως τὰ θρέπτρα παρά σου ἀπολάβοιμι. καὶ γένοιτό μοι μαθόντι διὰ γραφῆς αὐτοῦ, ὅσης καὶ οἵας τῆς σῆς ἀπολαύει χειραγωγίας, ἐπευλογῆσαί σε ταῖς εὐχαῖς εἰ μή τι ἄλλο. πατρικαῖς γοῦν, καὶ δυναμέναις οἴκους τέκνων στηρίζειν ὅς γε καὶ ἀεὶ τοῦτο ποιῶν εὕροιμι τὸν τοῦ ἀληθινοῦ λόγου ἀληθινὸν πατέρα ἐπήκοον, τηροῦντά σε πάσης ἀνώτερον κακώσεως καὶ κακύνσεως.

Τῷ δουκὶ Δυρραχίου, τῷ Βρυεννίῳ.
Ἐπιστ. ν.

ΕΙ' καὶ μικρὰν καὶ ὀλίγην τὴν τῶν ἰχθύων ἀποστολὴν ἡ τοῦ λόγου μήτηρ ποιεῖται πρὸς τὸ τῆς σῆς ὕψος μεγαλειότητος, ἀλλά γε συμβολικὴν καί τι περιττὸν καὶ τῶν πολλῶν ὑψηλότερον ἐν ἑαυτῇ φέρουσαν. δεῖ γὰρ τῇ τεκούσῃ τὸν λόγον, τὸν πάντα ἐν σοφίᾳ ποιήσαντα, μηδὲν ἄσοφον εἶναι καὶ ἄλογον. αὐτὰ μὲν γάρ σοι τὰ σταλέντα τὴν πρὸς ἀρετὴν ἐμφαίνουσι συνδιάθεσιν. ἐξ ἧς καὶ δι' ἧς ὅσον ὑγρὸν τῆς ψυχῆς, καὶ τοῖς κάτω ὕδασιν ἐντρεφόμενον, οἷς ὁ Λεβιαθὰν ἐνδυναστεύων γινώσκεται, ἀνέσπασάς τι τῷ ἀγκίστρῳ τοῦ λόγου εἰς ἑαυτὸν περιηγμένου καὶ ἐπιστρέφοντος. καὶ τῷ ἅλατι καρτερίας ὃ ἐν ἑαυτοῖς ἔχειν ὠρέλθημεν, ἐξέτηξάς τι καὶ ἐταρίχευσας. καὶ ξηρὸν καὶ κοῦφον ἀπέδειξας. ὁ δέ γε τούτων ἀριθμὸς τῆς ἐν καλοῖς τελειότητος σύμβολον. γνώρισμα ὂν τέλειον τῶν πάντων ἀριθμῶν δεκάδος καὶ περατώσεως. ἀλλὰ γὰρ οὕτως μοι ζώης, καὶ τοιοῦτον ἀεὶ διάγοις τὸν βίον, πρὸς τὸν θεὸν μόνον ὁρῶν,

τὸν,

τὸν ὕψοθεν μὲν ἐπὶ τὴν ἡμετέραν καταβεβηκότα ἐσχατιάν, ἀναβάντα δὲ εἰς ὕψος, ἵν' ἑλκύσῃ σοῦ συγκουφιζομένους· ὡς ὑπόχεσις μικρὰ δὲ ἡ οὐδὲν φροντίζων τοῦ κοσμοκράτορος, καὶ πολλὴν αὐτοῦ καταγινώσκων πενίαν, κἂν βασιλείαν ἔχειν ἀλαζονεύηται, καὶ τῆς δόσεως τούτων ἀνταπαιτῇ τὴν προσκύνησιν. καὶ πᾶς μὲν ἱλαρὸς καὶ παντὸς ἀγαθοῦ δότης καὶ γινόμενος καὶ φαινόμενος, οὐχ ἥκιστα δὲ τῷ λειτουργικῷ τοῦ θείου τάγματι καὶ συστήματι. ὦ σπείρων τὰ σαρκικά, θερίσεις τὰ πνευματικά, κατὰ τὸν θεῖον εἰπεῖν ἀπόστολον. καὶ θεὸν ἀντίδοσιν κτήσῃ τῶν παρεχόντων τὸν μένοντα. ὑφ' οὗ καὶ τηροῖο πάσης κακώσεως ἀνώτερος καὶ κακώσεως.

* * * * * Ἐπιστ. να΄.

ΜΑκρότερα γράφειν τῇ σῇ ἀγάπῃ, ὑπέρλαμπρέ μοι ἀδελφὲ καὶ αὐθέντα, μὴ διδόντος ἡμῖν τοῦ καιροῦ, οὐκ ἂν δριμὺ προσβλέψαις τῷ βραχεῖ γράμματι. ἀλλὰ καὶ τούτῳ προσγελάσεις ὡς πολυστίχῳ, καὶ οὐχὶ φίλου ψυχὴν ἐπευφραίνοντι. πῶς ἂν οὖν μοι ἔχοις, ὁ καὶ ὑγιῶς ἔχειν καὶ ἀλύπως καὶ σῶμα καὶ πνεῦμα ἄξιος. ἆρα δυσχεραίνεις τὸν τῶν πραγμάτων ὄχλον ὡς κηφήνων ἐσμόν, βλαπτόντων σοι τὸ μέλι τῆς εἰρηναίας κατὰ νοῦν ἕξεως. ἢ τοῦτο μέν, οὐδὲ προσποιῇ, κἂν περιβομβῇ ἀηδέστερον. τηρεῖς δὲ τὸν γλυκὺν σαυτοῦ θησαυρὸν ἄσυλον καὶ ἀμείωτον. τοῦτο μὲν οὖν καὶ βουλόμεθα καὶ εὐχόμεθα τάδε ἡμέτερα. ἀλλ' ἴσθι ταῦτα μυρμηκιὰν συμφορῶν. ἃς αἱ ἁμαρτίαι ἡμῶν ἐπισωρεύουσι καθημέραν, διακόνῳ τῷ πράκτορι χρώμεναι. βουκολεῖ δὲ ἡμᾶς ταῖς χρηστοτέραις ἐλπίσιν ὁ μέγας ποιμὴν Χριστός. ᾧ ποιμαινόμενός τις οὔτο

τῶν ἀγαθῶν οὐδὲν ὑστερήσεται. καὶ ἐπὶ χλόης ἀναπαύσεως καὶ ὕδατος ζῶντος κατακλινήσεται. ὑφ᾽ οὗ καὶ αὐτὸς φυλάττοιο τῶν ἀμφὶ ἐπιτιθεμένων λύκων πάσης ἐπηρείας ἀνώτερον.

Τῇ δεσποίνῃ, ἐπισκεψαμένῃ αὐτὸν ἀῤῥωστήσαντα.

Ἐπισ. νβ'.

Ἐγκαινίζεις ἀεὶ τοῖς ἔργοις τὴν τοῦ θεοῦ ἐνανθρώπησιν. καὶ δεικνύεις ἐν σοὶ μὲν, ἐκεῖνον ἀνθρωπιζόμενον. ἐν ἐκείνῳ δὲ, τὸν σὸν θεούμενον ἄνθρωπον. ἥγε πᾶσι συγκαταβαίνουσα, κἀμὲ τὸν ἀντόχρημα γῆν ᾠδίνησας ἐπισκέψασθαι, καὶ μεθύσαι τῆς σῆς χρηστότητος. καὶ τὸν σὸν ἴδιον, τὸν ἄλλως νεκρὸν, ἀνεζώωσας καὶ ἀνέστησας. ἀνθ᾽ ὧν τί ἂν σοι ἐπευξαίμην μεῖζον. ἢ, τὸ μὴ λῆξαί ποτε ἐν σαυτῇ δεικνῦσαν τὸ θεῖον μυστήριον. ἵν᾽ ᾖ σοι τὸ αὐτὸ κατόρθωμά τι καὶ μίσθωμα.

Τῷ Μακρεμβολίτῃ, τῆς Πρέσπας ἄρχοντι.

Ἐπισ. νγ'.

Οὔπω μὲν καθαρῶς τῆς κατὰ κλινήσεως ἡμεῖς ἀπηλλάγημεν νόσου, ἐπιφαίνεται μοί ἐν κυρίῳ ἡ ἑσπέρα. ἀλλ᾽ ἡ τῶν κανόνων φωνὴ διακελεύεται ἡ τὴν ἱερὰν ἡμῖν σύνοδον, φωνὴ πάντως οὖσα Χριστοῦ, ἐξανίστησί τε τῆς κλίνης, καὶ πρὸς τὴν κίνησιν ἐνισχύει, καὶ τὸν κράββατον φέρειν δίδωσι. προσδέχου γίνου ἡμᾶς σὺν αὐτῷ γε φάναι τῷ τοιαῦτα θαυματουργοῦντι κατὰ τὴν Πρέσπαν, ἐνταῦθα γὰρ ἡ συνέλευσις, καὶ περιπλακησομένους καὶ προσφυσομένους, καὶ τῆς οἰκίας καταπολαύσοντας διαθέσεως.

σεως. ἀλλ' ὅρα μὴ καταλιπόντες ἀσυνέργητον τὴν πρὸς τὴν συλλογὴν τῶν χειρωδῶν ἀπεστερημένον ἐκκλησιαστικὸν, σοῦ τὰ τῆς ἑορτῆς ᾄσοντας τέττιγας ἀπεχνῶς ἀποδείξητε. καὶ ἐν πανηγύρει μεθυόντων, αὐτοὶ λιμώξουμεν. εἶτα, ποῦ κατὰ δύσιν γῆς, ἵνα τὰς τοῦ λόγου φύγῃς βολάς. αἷς αὐτὸς μὲν οὔπω καὶ τήμερον ἐμπαρέσχες σαυτὸν, ὡς ὄντως κατὰ λόγον κινούμενος. ἄλλοι δὲ πειραθέντες, πικρὰς αὐτὰς κατηγγέλλουσιν οὓς καὶ ἔτι ταύτης ὑποπίπτειν καταλιπὼν ὡς ἐθάδας τε καὶ ἀξίους, αὐτὸς εἴης ὑπὸ τρίτου ἀνθοβολούμενος. τοῦτο γάρ δή σοι καὶ συμπέφυκε, καὶ συνηύξηται.

Τῷ ἐπὶ τῶν δεήσεων. Ἐπισ. νδ'.

ΣΥ μὲν πρὸς ἡμᾶς, ἃ πρὸς Ὀρέστην οἱ Μυκηναῖοι, ποιεῖς. καί σε μισοῦμεθ' οὕτως ὥστε μὴ προσεννέπειν. ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ πρός σε φρονεῖν τὴν ἀσυνήθες, ὥστε καὶ προσφωνῶ, καὶ τὰ συνήθη χαριεντίζομαι. τὰ δέ ἐστι, βραχέα μὲν, ἀλλὰ τοιαῦτα. οἷα θεσπίσματα μᾶλλον ἢ ῥήματα κοινὰ κρίνεσθαι. ἀνάπτεται κάμινος ἐπί σε τὰ ἐπὶ τῇ βραδύτητι σκώμματα. αὐτὸς δὲ οὐ μόνην κληματίδα καὶ στυππεῖον χορηγεῖς, οὐ δὲ τοῦτο τῆς πεύκης δάκρυον, ἀλλά σοι καὶ ὁ νάφθας μετακομίζεται ὑπερόριος. καὶ κατὰ ῥοθίους τούτῳ τὴν κάμινον. οὕτω ποθεῖς ἐρᾶν τὴν φλόγα αἰρομένην πρὸς τὸ μεγαλειότερον. εἰ μὲν οὖν ἀπολύσεις τῆς ἐν τῷ στρατοπέδῳ διατριβῆς τὸν Τορνίκιον, ὃν ἔχω γαμβρὸν ἐπ' ἀδελφιδῇ, τὸν Νεῖλον ὅλον ἐπαφήκας τῇ πῶς αἰρομένῃ φλογί. εἰ δ' οὖν, ἀλλὰ καὶ τὴν πηγὴν αὐτοῦ τοῦ θαυμασίου νάφθα ἐκ Βαβυλῶνος μετακομίζεις. μῶν ἠνιξάμην. ἢ οὐδὲν δεῖ σοι Οἰδίποδος.

ἐγὼ

ἐγὼ μὲν οἶμαι. τά τε γὰρ ἄλλα τίνος οὐκ ἀγχινούστερός σου. καὶ τὰ σὰ μᾶλλον ἂν συνείης, ἢ τἄλλα. ἀλλά μοι τῶν τε ἄλλων κακῶν τηροῖο ἀνώτερος. καὶ τῆς ὀδύνης θειὸς Βραδύτητος. εἴθ᾽ ἑκών, ὅπερ οὐ πείθομαι, εἴτε καὶ ἄκων ταύτῃ ἑάλωκας. καὶ ἀεί μοι ἀγγέλλοιο ἀπὸ δόξης εἰς δόξαν ὑψούμενος.

Τῷ ἰατρῷ τοῦ βασιλέως, κυρίῳ Νικήτᾳ.
Ἐπιστ. νέ.

Πολλὰ μὲν τὰ βιαζόμενά με πρὸς τὰς ἡμετέρας διαβῆναι σκηνάς, ἃς ὁ νέος Ἰσραὴλ πήγνυσθε, ἐν τῇ δι᾽ ὑμᾶς ἐρήμῳ περιφερόμενοι. ἀνακόπτει δέ μοι τὴν διάβασιν δύο ῥεύματα· ἓν μὲν, τὸ κοινόν τι καὶ ἐπιδήμιον. ὁ τοῦ ἐγκεφάλου πληρωθέντος κατάρρους δημιουργῆσαι καὶ βῆχας, καὶ τὸν περὶ τοῖς θωρακικοῖς νοσήμασι φόβον οὐκ ἀλόγως ἐφίστησι. τί γὰρ οὐκ ἄν μοι γένοιτο αἰθριάσαντι, ὅπου φωλεύων οὕτω διάκειμαι; θάτερον δὲ τὸ τοῦ γείτονος ποταμοῦ, ὃν ἡ παλαιὰ μὲν καὶ Ἑλληνὶς Ἄξιον, ἡ νέα δὲ καὶ Βάρβαρος ὀνομάζει Βαρδουάρειον. οὗτος γὰρ διὰ πολλῶν μὲν ῥέων ὀρῶν, τῇ δ᾽ ἐν τούτοις χιόνι τακείσῃ νῦν ὀγκωθείς, καὶ μήτε πεζοῖς μήτ᾽ ἐφίπποις διαβαίνειν διδούς, μήτε γέφυραν ἔχων, διὰ τὰ κακῶς ἀπολλύμενα ποταμῷ πλάνια, σκαφιδίῳ πήχει πορεύσιμος γίνεται. τὸ δὲ σκαφίδιον τοῦτο καὶ τρίτον τῷ ποταμῷ παρ᾽ ἐμοὶ τίθησιν ὄνομα. καὶ ἀξιῶ γε καλεῖσθαι τοῦτον Ἀχέροντα. ὃν ῥεῖν ἐν ᾅδου ποιητῶν οἱ παῖδες μυθεύονται. καὶ πάντας μὲν γὰρ τοὺς ἐφ᾽ ὧν δή ποτε πλέοντας δακτύλους, φασί, πάχος διατειχίζει πρὸς τοὺς νεκρούς, καὶ τοῦτ᾽ αὐτοῖς τὸ πλατὺ καὶ μακρὸν διατείχισμα.

οἱ δ᾽

οἱ δ᾽ ἐμβάντες τῷ σκαφιδίῳ τούτῳ, πρὸς τὸν κάτω βίον ἀραχνίῳ διατειχίζονται. διὰ ταῦτά σοι στέλλω τὸν ἀδελφόν, ᾧ τὴν πρὸς ὑμᾶς ἔλευσιν οὐδέτερον τῶν ῥευμάτων ἀνείργει. τὸ μὲν γάρ, οὐκ ἔτι ἐνοχλεῖται. τὸ δέ, οὐδέποτε δέδοικε. καὶ πολλοῦ δὴ νῦν ὅτε τις τοῦ πρὸς ὑμᾶς πόθου πτεροῖς κουφίζεται. ὅς γε οὐδὲ τὴν σκάφην σκάφην λέγειν ἀνέχεται, ὥσπερ ἡμεῖς οἱ ἀρχαῖοι καὶ ἄγροικοι, καὶ τῆς τῶν νῦν ἡμερῶν σοφίας εἴτουν σοφιστικῆς ἄγευστοι. ἀλλὰ μυριοφόρον ὁλκάδα τίθεται, καὶ πλεῖ θαρραλεώτερον, ἢ ὅτε κατὰ χέρσου βαδίζει. τοῦτον ἔστειλά σοι οἴκοθεν οἴκαδε. οὕτω γὰρ ἐγὼ κρίνω. τὰ καθ᾽ ἡμᾶς πᾶσαν τὴν τῆς ἐμῆς παρουσίας χρείαν σοι ἀποπληρώσονται, καὶ ἀντ᾽ ἐμοῦ τῆς ἀγάπης καὶ σοφῆς σου ψυχῆς ἀπολαύσονται. δι᾽ ἣν ἔγωγε τὸν ἐν ᾅδου Τειρεσίαν ἀποκαλῶν, οἷος πέπνυται, ἀναφαίνομαι τοὶ δέ, σκιαὶ ἀΐσσουσιν, ἅτε τῆς ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντες. τοῦτο γὰρ ἐμοὶ τὰ τοῖς πολλοῖς μακάρια καὶ εὐδαίμονα. ἢ καὶ τηροῖτό σου ὑπὸ τοῦ σοφοῦ τε καὶ ἀγαθοῦ θεοῦ πάσης ἀνωτέρου κακώσεως καὶ κακιώσεως.

Τῷ κυρίῳ Νικολάῳ τῷ Καλλικλεῖ.
Ἐπιστ. νϛ΄.

Ἀλλὰ σύ μοι δραστικὰς τὰς ἀντιδότους ἐπὶ τὰ προσβαλόντα νοσήματα, καὶ μὴ πεφεισμένως ἐγχεῖν τῇ κύλικι τὴν θεοδώρητόν σου καὶ τὴν πανάκειαν. καὶ τὸ κεφάλαιον, τὴν δι᾽ ἐχιδναίων σαρκῶν. ἐν μὲν Θεσσαλονίκῃ προσδοκᾶταί μοι πλήρωσις. ἐν δὲ ταῖς ἐκκλησίαις, χωρὶς δὲ αὐταὶ τῆς ἀρχιεπισκοπῆς, κένωσις. ἐξ ἀμφοῖν δέ, πάρεσις καὶ παράλυσις. ἆρα μὴ μάτην ἐπικαλοῦμαι τὸν ἐμὸν Ἀσκλήπιον ἐπὶ τηλικαύτην ἐνόχλησιν. τοῦτο μὲν οὐ

μάτην. ἐκεῖνο δὲ ὅρα, μή τις φαίη μάτην με ῥαψῳδεῖν γρίφους πλέκοντα. δέον ἐξειπεῖν τὴν χρείαν λευκότερον. τοῦτο δὴ καὶ ποιήσω. καὶ μάνθανε. οἰκίδιον ἡμῖν ἐστιν ἐν * ᾧ ἐγκαταλυόμεθα, καὶ τὰ χρειώδη ἐναποτιθέμεθα. τοῦτο πληροῦν ἐπιχειροῦσί τινες τῶν ὑπὸ τὸν πανσέβαστον αὐθέντην ἡμῶν. ταύτην σύ μοι τὴν πλήρωσιν παραστεῖλον. οὐδὲν γὰρ, εἰ τοῖς ἡμετέροις ἄλλων ἐναποπτωομένων, αὐτοὶ θύρας ἀλλοτρίας περινοστοίημεν. τὸ χωρίον αἱ ἐκκλησίαι εἰ μὴ ἀνεπηρέαστον ἐαθείη, εὖ ἴσθι ὡς κενωθήσεται. ἐπίσχες αὐτός μοι καὶ ταύτην τὴν κένωσιν. ὁ δὲ τρόπος τῆς ἐπισχέσεως, μήπω μὲν περὶ τοῦ χωρίου μηδὲν μήτε μεῖζον μήτε μεῖον ἐρεῖς. ὅτι δέ σοι οἱ ἐν τῷ χωρίῳ ἡμέτεροι ἢ ὡς ἐπηρεασμοῦ ἐγγὺς ὄντες, ἢ ὡς ἐπηρεαζόμενοι, προσελεύσονται, τότε μηδενὸς φείδεσθαι μήτε ῥήματος ὑπὲρ ἡμῶν μήτε πράγματος. εἴρηκά σοι τὰ ἐμά. δός μοι καὶ πρὸς ἄλλους λέγειν τὰ ἐπὶ τούτοις σὰ τῶν ἐλπίδων ἄξια. ὡς ὁ πάντων σε λόγος βεβαίας ἐν ἐμοὶ πήγνυσιν. ὁ ἀδελφός μου προσαγορεύσει σε. ἀλλ' ἐκ τοῦ Ταινάρου. δι' οὗ πρὸς τὸν ᾅδην κατάγεται, τῇ φθισικῇ χειραγωγούμενος. πρὸς ἣν χειραγωγίαν ἐγὼ θεόθεν ἐξαιτῶ πρόσκομμα.

Τῷ αὐτῷ. Ἐπισ. νζ.

ΒΙάιον ἐγώ σοι χρῆμα ἀεί τι λαμβάνειν δικαιῶ παρά σου. χθὲς γοῦν αἰτήσας τὴν πρὸς σὲ αὐτόθι ἡμετέρους χρηστότητα, καὶ μέν τοι καὶ λαβών. οὐ γὰρ κατὰ πετρῶν ἐγὼ σπείρειν ἔμαθον. αὖθις ἐνοχλῶ σου τῇ δρου- ρῃ τῇ ἱεροβώλακι. καὶ καταβάλλω λόγον αἰτήσεως. ἡ δ' ἐστὶ τῶν τι παλαιῶν βιβλίων χρησθῆναι ἡμῖν. οὐ ποσοῦτον εἰς πράξιν ἰατρικὴν συμβαλλόμενον. οὐ γὰρ ὡραῖος ἐγὼ τοῦ-

τοῦ-

τῶν ἔργων τῆς τέχνης μαθήσεσιν, ἔσον εἰς δογμάτων ἐπιστήμην καὶ τέχνασιν. ἔτι τοίνυν μονόβιβλά σοι παρῇ, εἴτ' ἐξηγήσεις Ἱπποκρατείων, ἴσθι ταῦτά σοι βουλομένους ἡμᾶς καρπώσασθαι· ὅπως οὖν μήτε πλεῖόν τι καὶ ὑπέρωρον φρόνημα, μήτε πάχος καὶ σκληρότης ψυχῆς ἀδυσώπητος, μήτ' ἀκαίθεια προφάσεων, τὰς τῶν τεχνικῶν ἔργων φροντίδας ἐφ' ἃ τῶν βιβλίων προβαλλόμεθα, τὸν ἐπὶ τῷ σπέρματι πόνον ἡμῖν ματαιώσωσιν. ἀλλά μοι καρποφόρησον ἡ ἀγαθὴ γῆ ἐν τριάκοντα καὶ ἑξήκοντα. εἰ δὲ τὴν περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων πραγματείαν δεξοίμεθα, καὶ εἰς ἑκατόν σε καρποφορήσοντα θήσομεν. ὁ δὲ τὸν καρπόν μου κομίσων, παρὰ τοῦ παγκάλου Σμυρναίου τῇ ἀγάπῃ σου συσταθήσεται. ἣν καὶ ὁ τῆς αὐταγάπης πατὴρ τηρείη ἄδολόν τι καὶ ἀκαπήλευτον.

Τῷ Κίτρῳ. Ἐπισ. ιη'.

ΟΥ̓́τω μοι κρειττόνως σώζεσο, πανίερε ἀδελφὲ καὶ δέσποτα, καὶ οὐ μελήσει μοι τοῦ ἀχύρου τὸν σῖτον ἔχοντι. ἡ δὲ ἐνταῦθα ἐπιμονὴ πῶς μὲν ἐδόκει κἀμοὶ εὖ τε καὶ κατὰ λόγον ᾠκονομῆσθαι· ἦσαν δὲ ἄρα δειλοὶ τῶν ἀνθρώπων οἱ λογισμοί, καὶ βέλτιον ἦν ἐμοὶ πρὸς τὴν πόλιν ἀναδραμεῖν, κἀκεῖσε τοὐμὸν τὸ σῶμα θεραπείας ἀξιῶσαι, τὴν τοῦ σὺν ἐμοὶ τῆς τῶν ἐνταῦθα καυσώνων πείρας θέσθαι μακράν. ὧν οὐδὲν νῦν ἀγαθὸν ἀπολαύουσι. καὶ μάλιστά μοι ὁ ἀδελφός, ὃν ἔχω λοιπὸν συνθήρας παρακλητικῆς ἀναψύξεως. τοῦ γὰρ ἐν Ἀρχείδι ἀέρος τὸν ἐνταῦθα ἀλλαξάμενος, τοῦτ' ἐν ἐκείνῃ ὀλιγοφόρου οἴνου, καὶ λεπτοτάτου, καὶ τῶν ἄλλων ὑγιεστέρων τροφῶν στερηθείς, κακῶς ἔχει τὸ σῶμα, καὶ πάνυ πονήρως πέπραγεν. ἀνορεξίας μὲν εἰς ἔσχατον

Τῷ φιλοσόφῳ, κυρίῳ Ἰωάννῃ.
Ἐπισ. με΄.

Οὐκ ἄρα μάτην ἐγὼ τὸν ἐμὸν, μᾶλλον δὲ τοῦ θεοῦ, Ἰωάννην πάντων τῶν φιλοσόφων ἀεὶ προέκρινα. ὅσγε τοσούτου ἐδέησε τούτων εἷς φανῆναι τῶν ποιουμένων νῦν τὸν φιλόσοφον, ὥστε τοῖς ἔργοις δεῖξαι τὴν πρὸς ἐκείνους ἀπόστασιν, ἣν δὶς διὰ πασῶν λόγῳ σώζουσιν. τοῖς μὲν γὰρ οὐδὲν οὕτω σπουδαζόμενον ἑωρῶμεν ὡς τὸ μισάδελφον. διὰ τοῦτο δὲ πάντως καὶ τὸ μισόθεον. τῷ δὲ, τοῦ φιλοθέου προὐστάθη κάτοπτρον, τὸ φιλάδελφον. ἡμᾶς γέ τοι πολὺς ἐξ οὗ χρόνος μήτ' ἰδὼν μήτ' ἐν τοῖς ἀναγκαιοτάτοις ἄγων, ἐπειδὴ συμφοραῖς εἶδες χρωμένους, καὶ συκοφαντίας ἐπηρείᾳ παλαίοντας, ἣ πολλῶν τι καὶ ἐσθλῶν γούνατ' ἔλυσεν, ἠδ' ἔτι καὶ λύσει. τῆς γὰρ κράτος ἐστὶ μέγιστον. ἠξίωσε τοῦ πρώτου λόγου. καὶ ὡς αὐτὸς πάσχων καὶ πρὸς τὴν λύπην δυναμένους τὰς συμφορὰς, ὑπὲρ τῆς τούτων ἀπαλλαγῆς πᾶσαν σπουδὴν εἰσηνέγκατο, καὶ τῆς ἡμῶν ὑπερηγόρησεν ἀθλιότητος. καὶ πᾶν ὅσον ἔδει αὐτός γε κατήνυσεν. οὐ ταύτης δὲ μόνον τὴν σοφίαν ἐχαρακτήρισεν, ἧς ἔχει δηλαδὴ τὴν φιλοσοφίας ἐπίβασιν. ἀλλὰ καὶ λόγοις ἐπέρρωσε πρὸς τὸ φέρειν εὐκόλως τὴν τῶν βαρυνόντων ἐπίθεσιν. λόγοις τίνος μὲν οὐχ ἡδυτέροις κηρίου; τίνος δὲ γεωμετρικῆς οὐ πιστικωτέροις ἀνάγκης; οὐ γὰρ πρὸς αὐτοῦ τὸ μὴ οὐχὶ τὸν σοφὸν φαίνειν ἄρτιον, πράξει δὲ καὶ λόγῳ συντελειούμενον. ἀλλὰ γὰρ αὐτὸς μὲν αἰθέριος ἢ καὶ ὑπερουράνιος ἵπτασο, πτέρυγας ἀετοῦ περιαρμοσάμενος. ὅς τίς ποτε οὗτος ὁ ἀετός. οἶμαι δὲ, ὁ κρείττων λόγος, καὶ βασιλεὺς πάντων ὅσοι πρὸς τὸ ἄνω κουφίζονται. σοῦ δὲ δὲ ἄφθι νίφειν ἕνα ἢ δύο, κἂν ἔτι βλασφη-

βλασφημούντων ἡμᾶς τῶν τῆς ἀληθείας ἐχθρῶν, ἀκού-
σης. καὶ καταπεζευόντων ἐν σκοτομήνῃ καὶ τῷ τοῦ ψεύδους σκιάσματι αὐτῶν τά γε πρὸς αὐτὸν εὐθεῖς τῇ καρδίᾳ. μὴ κάμοις τὴν γλῶτταν διδοὺς τῷ λόγῳ, καὶ θεῷ, ὅς ἐστιν ἀληθείας σύμμαχος. ἀλλ' ὁ πραῢς οὗτος μαχητὴς καὶ περιζώσει τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, καὶ τὸ τῆς διανοητικῆς δυνάμεως γόνιμον καὶ αὐτῶν μὲν ἐχθροὺς ἀποκέντει. ἡμῖν δὲ τὴν τῶν ἐν χρηστότητι παραμίλλων βασιλέων εὐμένειαν σταθηροτέραν ἑκάστοτε παρεχόμενος, ἐκδέχου παρὰ κυρίου τὰς ἀμοιβάς, τοῦ τοῖς ἀγαθοῖς ἀγαθύνοντος ὑφ' οὗ καὶ τηροῖο ἐν πάσῃ ἀγαθωσύνῃ, καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ, εἰς ὁ καρπὸς τοῦ πνεύματος ἐπιπεπαίνεται.

Τῷ περιβλέπτῳ, κυρίῳ Ἰωάννῃ.
Ἐπιστ. μϛ'.

ΤΟ σκαμβὸν ξύλον, ὦ καλὲ Ἰωάννη, οὐδέποτ' ὀρθόν. ἀμέλει καὶ οὐδὲν βέλτιον, ὅτι μὴ κάκιον πέπραγα. ὁ γὰρ ἐχθρὸς ὁ αὐτός ἐστιν, καὶ οὐκ ἠλλοίωται μᾶλλον μὲν οὖν κατὰ τῶν θηρίων, ὅσα διὰ τὸ ἀποθηριωθῆναι πλέον ἀγριαίνουσι, καὶ οἷον μεμήνασιν, ἀφειδῶς τοῖς θυμοῖς κατακέχρηνται. καὶ περιφανῶς θανατῶν δαιμονᾷ τὸ κάθαρμα. μόνην οὖν ἐπικλητέον ἐπὶ τῶν οὕτως ἐχόντων τὴν ἐλάτειραν τῶν δαιμόνων δύναμιν. ἐκείνη γὰρ τῇ τούτου λεγεῶνι ἐπιτιμήσασα, τοῖς ὁδίταις ἡμῖν παρέξει τὴν τοῦ βίου ὁδὸν δειμάτων ὁδεύειν ἐκτός. εἰ δὲ καὶ τοῖς χοίροις ἐπιπέμψει τὸν τούτου φόρτον, καὶ αὐτῶν ἐπιτυχουμένους ἀξίως ὑπὸ τούτου Βουλγάρους ὥστε κατὰ τοῦ προσήκοντος αὐτοῖς κρημνοῦ οὐδὲν τοῦτο πρᾶγμα μόνον ἡμεῖς ἀκωλύτως τὴν οἰκείαν

ὁδὸν ὁδεύοιμεν. καὶ θεῷ τὰ διαβήματα κατευθυνοίμεθα. ὑφ' οὗ καὶ αὐτὸς πρὸς πᾶν ὁδηγεῖο καλὸν, τὰς τοῦ πονηροῦ παγίδας ὑπερπηδῶν.

Τῷ μαθητῇ αὐτοῦ, τῷ Παντέχνῃ, κυρίῳ
Μιχαὴλ, τῷ ἰατρῷ.
Ἐπισ. μζ.

ΟΥ'κ οἶδα πότερον συνησθήσομαί σοι, τέκνον μου, κύριε Μιχαὴλ, ἢ συναλγήσω ἐπὶ τῇ εἰς τὰ βασίλεια εἰσόδῳ. ἡ μὲν γὰρ τῶν πολλῶν δόξα, τὸ πρότερον ἡμῖν δίδωσιν. ἡ δὲ τῶν πραγμάτων ἀλήθεια, τὸ δεύτερον. ὡς μὴ ὤφελεν. ἀλλὰ γὰρ ἐπειδὴ γέγονεν ὃ γέγονε, καὶ ἀναλύειν οὐκ ἔνεστι, φρονήσεως δεῖ, ὥστε τὸ γενόμενος μεταχειρίζεσθαι δεξιώτερον. γένοιτο δ' ἂν τοῦτο, εἰ προσέχοιμεν τι πᾶσιν ὡς μέσῳ σκορπίων οἰκοῦντες. καὶ τοῖς ὑψηλοτέροις ἢ οὖσιν, ἢ δοκοῦσιν, ὑφιζάνοιμεν ταπεινούμενοι. δεινὸν γὰρ ἡ πρόληψις, καὶ δυσεκμόχλευτον, ὡς ἂν ὑμεῖς φαίητε. καὶ μάλιστα, εἰ κακοήθει καὶ ὑπούλῳ τρέφοιτο καὶ ἀδρυνοιτο ξύνες ὅτι λέγω. ξεῖναι τυράννοις ἐκ ποδῶν μεθίστασο. μὴ νύ τι οὐ χραίσμη σκῆπτρον καὶ στέμμα θεοῖο. ταῦτα μὲν, ταύτῃ. σὺ δέ μοι μὴ πρὸς τὴν πεῖραν ἀναξιοπαθήσῃς. ἀλλ' ὑποκλέπτων σαυτὸν ὡς ἔνεστιν ἄχρι καὶ τῶν ἐσχάτων συγκατάβαινε, καὶ πᾶσιν ἥττων ἴσθι. καὶ ἡμέρως καὶ τιμητικῶς ὁμίλει. καὶ σπουδὴν καὶ ἐπιμέλειαν τοῖς ἐν χερσὶν ἀῤῥώστοις ἐνεπιδείκνυσο. καὶ ὁ θεὸς λαμπρυνεῖ σε. εἴ τι στοχαστικὸς ἐγὼ, καὶ οἷός τε τεκμαίρεσθαι. εὔφημος ἔστω σοι γλῶττα. καὶ κύριος τηροίη σε πάσης κακώσεως ἀνώτερον καὶ κακώσεως.

Τοῖς

Τοῖς παιδευθεῖσιν ὑπ' αὐτοῦ Βουλγάροις.
Ἐπισ. μή.

ΕΚλείπει μέν μοι ἡ ψυχὴ τῷ πόθῳ τῶν τοῦ θείου σκηνωμάτων. καὶ διὰ τοῦτο πτεροῖς ἂν ἐχρησάμην εἰ οἷόν τ' ἦν πρὸς τὴν αὐτόσε ἔλευσιν, καὶ τῶν ποθουμένων ἀπόλαυσιν. ἀλλὰ γὰρ τῆς ἰσχιάδος ἀκούειν δοκῶ ἐκβοώσης, μένε ὦ ταλαίπωρε σοῖς ἐν δεμνίοις. διαγγείλατε οὖν οἱ ἐμοὶ τοῖς ἐμοῖς τε καὶ οὐκ ἐμοῖς ὡς ἐξ ἐμοῦ στόματος. μείνατέ μου πρὸς βραχὺ τὴν ἀσθένειαν. ἐμὲ μὲν τὸν βαρὺν μετ' οὐ πολὺ κάτω θήσουσιν, ὑμᾶς δὲ τοὺς βαρουμένους ἀποφορτίσουσιν, καὶ μὴ δυνάμει κακίας πρὸς τὴν ἀπόθεσιν χρώμενοι, τοῦ τι βουλήματος ἀποτύχοιτε. οὐκ εὔκαιρον γάρ. καὶ τὸ κακοὶ φανῆναι προσκτήσησθε. ἀκόλουθον γάρ. τοῦτο δὲ πάντως ἄλλου βάρους βαρύτερον, τοῖς γε τὸν ἀγαθὸν ἐπονομαζομένοις Χριστόν. ὑφ' οὗ δοκοῦσι καὶ πλασθῆναι καὶ πλάττεσθαι.

Τῷ αὐτοκράτορι τοῦ δουκὸς Ἀτταλίας, κυρίῳ Ἰωάννῃ τῷ Ἀτταλιάτῃ. Ἐπισ. μθ'.

ΟἹ μέν σε χάριτας ὀφείλειν ἐμοὶ, λαμπρότατέ μοι ἐν κυρίῳ υἱέ. ὅτι σε νέαν ἔτι τὴν ἡλικίαν ἄγοντα πρὸς τὰς τῶν Μουσῶν θείας χάριτας ἤνεγκα, κἀξέσωσα, κἀξεθρεψάμην. καὶ τοῦτο τὸ χρέος οὐδ' ἂν αὐτὸς ἀπαρνήσαιο. ἢ ἀλλότριόν γε Μουσῶν ἐπιδείξεις σαυτόν. ἐπεὶ οὖν ὁμολογεῖς, ἅπαν μοι τοῦτο διάλυσον ἐν τῷ τοῦ ἱερωτάτου μητροπολίτου Σίδης ἀντιλαμβάνεσθαι (οὗτος γὰρ δὴ τοσοῦτον ἡμῖν ἥνωται), ὥστε μηδὲ ἄλλος δοκεῖν παρ' ἐμέ. ἀλλ' αὐτὸς ἐγὼ εἶναι. ἔσαι οὖν πρὸς τὸ ἀγαθοποιεῖν δέδωκέ σοι ὁ

ἀγαθὸς θεὸς δυνάμιν, πάππα μοι συγκίνησον ἐπὶ τὸ ἀγαθῦναι τῷ τὰ πάντα καλῷ κἀγαθῷ τοῦ θεοῦ τούτῳ θεράποντι. καὶ χρηστότατέ μοι υἱέ, οὕτως ὀναίμην τῶν ἐπὶ σοὶ πόνων. οὕτως τὰ θρέπτρα παρὰ σοῦ ἀπολάβοιμι καὶ γένοιτό μοι μαθόντι διὰ γραφῆς αὐτοῦ, ὅσης καὶ οἵας τῆς σῆς ἀπολαύει χειραγωγίας, ἐπευλογῆσαί σε ταῖς εὐχαῖς εἰ μή τι ἄλλο, πατρικαῖς γοῦν, καὶ δυναμέναις οἴκους τέκνων στηρίζειν· ὅς γε καὶ ἀεὶ τοῦτο ποιῶν εὕροιμι τὸν τοῦ ἀληθινοῦ λόγου ἀληθινὸν πατέρα ἐπήκοον, τηροῦντά σε πάσης ἀνώτερον κακώσεως καὶ κακύνσεως.

Τῷ δουκὶ Δυρραχίου, τῷ Βρυεννίῳ.
Ἐπιστ. ν.

Εἰ καὶ μικρὰν καὶ ὀλίγην τὴν τῶν ἰχθύων ἀποστολὴν ἡ τοῦ λόγου μήτηρ ποιεῖται πρὸς τὸ τῆς σῆς ὕψος μεγαλειότητος, ἀλλά γε συμβολικήν καί τι περιττὸν καὶ τῶν πολλῶν ὑψηλότερον ἐν ἑαυτῇ φέρουσαν. δεῖ γὰρ τῇ τεκούσῃ τὸν λόγον, τὸν πάντα ἐν σοφίᾳ ποιήσαντα, μηδὲν ἄσοφον εἶναι καὶ ἄλογον. αὐτὰ μὲν γάρ σοι τὰ σταλέντα τὴν πρὸς ἀρετὴν ἐμφαίνουσι συνδιάθεσιν. ἐξ ἧς καὶ δι' ἧς ὅσον ὑγρὸν τῆς ψυχῆς, καὶ τοῖς κάτω ὕδασιν ἐντρεφόμενον, οἷς ὁ Λεβιαθὰν ἐνδυναστεύων γινώσκεται, ἀνέσπασάς τε τῷ ἀγκίστρῳ τοῦ λόγου εἰς ἑαυτὸν περιηγμένου καὶ ἐπιστρέφοντος. καὶ τῷ ἅλατι κατηρτίσας ὃ ἐν ἑαυτοῖς ἔχειν ὠρίσθημεν, ἐξέτηξάς τε καὶ ἐταρίχευσας, καὶ ξηρὸν καὶ κοῦφον ἀπέδειξας. ὁ δέ γε τούτων ἀριθμὸς τῆς ἐν καλοῖς τελειότητος σύμβολον· γέννημα ὂν τέλειον τῶν πάντων ἀριθμῶν δεκάδος καὶ περατώσεως. ἀλλὰ γὰρ οὕτως μοι ζώης, καὶ πιστὸν ἀεὶ διάγοις τὸν βίον, πρὸς τὸν θεὸν μόνον ὁρῶν,

τὸν

τὸν ὑψόθεν μὲν ἐπὶ τὴν ἡμετέραν καταβεβηκότα ἐσχατιὰν, ἀναβάντα δὲ εἰς ὕψος, ἵν᾽ ἑλκύσῃ σὺν συγκουφιζομένους, ὡς ὑπόσχεσις μικρὰ δὲ ἢ οὐδὲν φροντίζων τοῦ κοσμοκράτορος, καὶ πολλὴν αὐτοῦ καταγινώσκων πενίαν, κἂν βασιλείαν ἔχειν ἀλαζονεύηται, καὶ τῆς δόσεως τούτων ἀνταπαιτῇ τὴν προσκύνησιν. καὶ πᾶς μὲν ἱλαρὸς καὶ παντὸς ἀγαθοῦ δότης καὶ γινόμενος καὶ φαινόμενος, οὐχ ἥκιστα δὲ τῷ λειτουργικῷ τοῦ θεοῦ τάγματι καὶ συστήματι. ὦ σπείρων τὰ σαρκικὰ, θερίσεις τὰ πνευματικὰ, κατὰ τὸν θεῖον εἰπεῖν ἀπόστολον. καὶ θεὸν ἀντεισοικίσῃ τῶν παρατρεχόντων τὸν μένοντα. ὑφ᾽ οὗ καὶ τηροῖο πάσης κακώσεως ἀνώτερος καὶ κακώσεως.

* * * * * Ἐπις. να΄.

Μακρότερα γράφειν τῇ σῇ ἀγάπῃ, ὑπέρλαμπρέ μοι ἀδελφὲ καὶ αὐθέντα, μὴ διδόντος ἡμῖν τοῦ καιροῦ, οὐκ ἂν δριμὺ προσβλέψαις τῷ βραχεῖ γράμματι. ἀλλὰ καὶ τούτῳ προσγελάσεις ὡς πολυστίχῳ, καὶ οὐχὶ φίλου ψυχὴν εὐφραίνοντι. πῶς ἂν οὖν μοι ἔχοις, ὁ καὶ ὑγιῶς ἔχειν καὶ ἀλύπως καὶ σῶμα καὶ πνεῦμα ἄξιος. ἆρα δυσχεραίνεις τὸν τῶν πραγμάτων ὄχλον ὡς κηφήνων ἐσμὸν, βλιττόντων σοὶ τὸ μέλι τῆς εἰρηναίας κατὰ νοῦν ἕξεως. ἢ τοῦτο μὲν, οὐδὲ προσποιῇ, κἂν περιβομβῇ ἀηδέστερον. τηρεῖς δὲ τὸν γλυκὺν σαυτοῦ θησαυρὸν ἄσυλον καὶ ἀμείωτον. τοῦτο μὲν οὖν καὶ βουλόμεθα καὶ εὐχόμεθα τάδε ἡμέτερα. ἀλλ᾽ ἴσθι ταῦτα μυρμηκιὰν συμφορῶν. ἃς αἱ ἁμαρτίαι ἡμῶν ἐπισωρεύουσι καθημέραι, διακόνῳ τῷ πράκτορι χρώμεναι. βουκολεῖ δὲ ἡμᾶς ταῖς χρηστοτέραις ἐλπίσιν ὁ μέγας ποιμὴν Χριστός. ὦ ποιμαινόμενός τις οὐ πάν-

τῶν ἀγαθῶν οὐδὲν ὑστερήσεται. καὶ ἐπὶ χλόης ἀναπαύσεως καὶ ὕδατος ζῶντος κατακλινήσεται. ὑφ᾽ οὗ καὶ αὐτὸς φυλάττοιο τῶν ἀωρὶ ἐπιτιθεμένων λύκων πάσης ἐπηρείας ἀνώτερον.

Τῇ δεσποίνῃ, ἐπισκεψαμένῃ αὐτὸν ἀρρωστήσαντα.

Ἐπισ. ιβʹ.

Ἐγκαινίζεις ἀεὶ τοῖς ἔργοις τὴν τοῦ θεοῦ ἐνανθρώπησιν. καὶ δεικνύεις ἐν σοὶ μὲν, ἐκεῖνον ἀνθρωπιζόμενον. ἐν ἐκείνῳ δὲ, τὸν σὸν θεούμενον ἄνθρωπον. ἥ γε πᾶσι συγκαταβαίνουσα, κἀμὲ τὸν αὐτόχρημα γῆν ηὐδόκησας ἐπισκέψασθαι, καὶ μεθύσαι τῆς σῆς χρηστότητος. καὶ τὸν σὸν ἴδιον, τὸν ἄλλως νεκρὸν, ἀνεζώωσας καὶ ἀνέστησας. ἀνθ᾽ ὧν τί ἂν σοι ἐπευξαίμην μεῖζον. ἢ, τὸ μὴ λῆξαί ποτε ἐν σεαυτῇ δεικνῦσαν τὸ θεῖον μυστήριον. ἵν᾽ ᾖ σοι τὸ αὐτὸ κατόρθωμά τε καὶ μίσθωμα.

Τῷ Μακρεμβολίτῃ, τῆς Πρέσπας ἄρχοντι.

Ἐπισ. ιγʹ.

Οὔπω μὲν καθαρῶς τῆς κατακλινήσεως ἡμεῖς ἀπηλλάγημεν νόσου, ἐπιφανέστατέ μοι ἐν κυρίῳ υἱέ. πλὴν ἀλλ᾽ ἡ τῶν κανόνων φωνὴ διακελευομένη τὴν ἱερὰν ἡμῶν σύνοδον, φωνὴ πάντως οὖσα Χριστοῦ, ἐξανίστησί τε τῆς κλίνης, καὶ πρὸς τὴν κίνησιν ἐνισχύει, καὶ τὸν κράββατον φέρειν δίδωσι. προσδέχου τοίνυν ἡμᾶς σὺν αὐτῷ γε φάναι τῷ τοιαῦτα θαυματουργοῦντι κατὰ τὴν Πρέσπαν. ἐνταῦθα γὰρ ἡ συνέλευσις, καὶ περιπλακησομένους καὶ προσφυσομένους, καὶ τῆς υἱϊκῆς καταπολαύσοντας διαθέσεως.

σεως. ἀλλ᾽ ὅρα μὴ καταλιπόντες ἀσυνέργητον τὸν πρὸς τὴν συλλογὴν τῶν χελιδόνων ἀπεσταλμένον ἐκκλησιαστικὸν, σὺ τὰ τῆς ἑορτῆς ᾄσοντας τέττιγας ἀτεχνῶς ἀποδείξῃς. καὶ ἐν πανηγύρει μεθυόντων, αὐτοὶ λιμώξομεν. εἶτα, ποῖ κατὰ δύσιν γῆς, ἵνα τὰς τοῦ λόγου φύγῃς βολάς· αἷς αὐτὸς μὲν οὔπω καὶ τήμερον ἐμπαρέσχες σαυτὸν, ὡς ὄντως κατὰ λόγον κινούμενος. ἄλλοι δὲ παροραθέντες, πικρὰς αὐτὰς κατηγγέλλουσιν οὓς καὶ ἔτι ταύτης ὑποπίπλην καταλιπὼν ὡς ἐθάδας τι καὶ ἀξίους, αὐτὸς εἴης ὑπὸ τούτου ἀνθοβολούμενος. τοῦτο γὰρ δή σοι καὶ συμπέφυκε, καὶ συνηύξηται.

Τῷ ἐπὶ τῶν δεήσεων. Ἐπισ. νδʹ.

ΣΥ μὲν πρὸς ἡμᾶς, ἃ πρὸς Ὀρέστην οἱ Μυκηναῖοι, ποιεῖς. καί σε μισούμεθ᾽ οὕτως ὥστε μὴ προσεννέπειν. ἐγὼ δὲ τοσοῦτον ἀπέχω τοῦ πρός σε φρονεῖν ἢ ἀσυνήθες, ὥστε καὶ προσφωνῶ, καὶ τὰ συνήθη χαριεντίζομαι. τὰ δέ ἐστι, βραχέα μὲν, ἀλλὰ τοιαῦτα. οἷα θεσπίσματα μᾶλλον ἢ ῥήματα κοινὰ κρίνεσθαι. ἀνάπτεται κάμινος ἐπὶ σὲ τὰ ἐπὶ τῇ βραδύτητι σκώμματα. αὐτὸς δὲ οὐ μόνην κληματίδα καὶ στυππεῖον χορηγεῖς, οὐ δὲ τοῦτο τῆς πεύκης δάκρυον, ἀλλά σοι καὶ ὁ νάφθας μετακομίζεται ὑπερόριος. καὶ καταρδεύεις τούτῳ τὴν κάμινον. οὕτω ποθεῖς ἐρᾶν τὴν φλόγα αἰρομένην πρὸς τὸ μεγαλειότερον. εἰ μὲν οὖν ἀπολύσεις τῆς ἐν τῷ στρατοπέδῳ διατριβῆς τὸν Τορνίκιον, ὃν ἔχω γαμβρὸν ἐπ᾽ ἀδελφιδῇ, τὸν Νεῖλον ὅλον ἐπαφῆκας τῇ πως αἰρομένῃ φλογί. εἰ δ᾽ οὖν, ἀλλὰ καὶ τὴν πηγὴν αὐτοῦ τοῦ θαυμασίου νάφθα ἐκ Βαβυλῶνος μετακομίζεις. μῶν ᾐνιξάμην, ἢ οὐδὲν δεῖ σοι Οἰδίποδος.

ἐγὼ

ἐγὼ μὲν οἶμαι. τάχα γὰρ ἄλλα τινὸς οὐκ ἀγχινέστερός συ. καὶ τὰ σὰ μᾶλλον ἂν σαφῆς, ἢ τἄλλα ἀλλά μοι τῶν τε ἄλλων κακῶν τηρεῖο ἀνώτερος. καὶ τῆς δεινῆς θεοῦ βραδύτητος. εἴθ᾽ ἑκών, ὅπερ οὐ πείθομαι, εἴτε καὶ ἄκων ταύτῃ ἑάλωκας. καὶ ἀεί μοι ἀγγέλλοιο ἀπὸ δόξης εἰς δόξαν ὑψούμενος.

Τῷ ἰατρῷ τοῦ βασιλέως, κυρίῳ Νικήτᾳ.
Ἐπις. νέ.

ΠΟλλὰ μὲν τὰ βιαζόμενά με πρὸς τὰς ἡμετέρας διαβῆναι σκηνάς, ἃς ὁ νέος Ἰσραὴλ πήγνυσθε, ἐν τῇ δι᾽ ὑμᾶς ἐρήμῳ περιφερόμενοι. ἀνακόπτεις δέ μοι τὴν διάβασιν δύο ῥεύματα ἓν μὲν, τὸ κοινόν τε καὶ ἐπιδήμιον. ὃ τοῦ ἐγκεφάλου πληρωθέντος κατάῤῥους δημιουργῆσαι καὶ βῆχας, καὶ τὸν περὶ τοῖς θωρακικοῖς νοσήμασι φόβον οὐκ ἀλόγως ἐφίστησι. τί γὰρ οὐκ ἄν μοι γένοιτο αἰθριάσαντι, ὅπου φωλεύων οὕτω διάκειμαι; θάτερον δὲ τὸ τοῦ γείτονος ποταμοῦ, ὃν ἡ παλαιὰ μὲν καὶ Ἑλλωὶς Ἄξιον, ἡ νέα δὲ καὶ βάρβαρος ὀνομάζει Βαρδάριον. οὗτος γὰρ διὰ πολλῶν μὲν ῥέων ἐρῶν τῇ δ᾽ ἐν τύποις χιόνι τακείσῃ νῦν ὀγκωθεὶς, καὶ μήτε πεζοῖς μήτ᾽ ἐφίπποις διαβαίνειν διδοὺς, μήτε γέφυραν ἔχων, διὰ τὰ κακῶς ἀπολλύμενα ποταμῷ πλώϊα, σκαφιδίῳ πῆχει πορεύσιμος γίνεται τὸ δὲ σκαφίδιον τοῦτο καὶ τρίτον τῷ ποταμῷ παρ᾽ ἐμοὶ τίθησιν ὄνομα. καὶ ἀξιῶ γε καλεῖσθαι τοῦτον Ἀχέροντα. ὃν ῥεῖν ἐν ᾅδου μιητῶν οἱ παῖδες μυθεύονται. καὶ πάντας μὲν γὰρ τοὺς ἐφ᾽ ὧν δή ποτε πλέοντας δακτύλου, φασὶ, πάχος διατειχίζει πρὸς τοὺς νεκροὺς, καὶ τοῦτ᾽ αὐτοῖς τὸ πλατὺ καὶ μακρὸν διατείχισμα.

οἱ δ' ἐμβάντες τῷ σκαφιδίῳ τούτῳ, πρὸς τὸν κάτω βίον ἀραχνίῳ διατηχίζονται. διὰ ταῦτά σοι στέλλω τὸν ἀδελφὸν, ᾧ τὴν πρὸς ὑμᾶς ἔλευσιν οὐδέτερον τῶν ῥευμάτων ἀνείργει. τῷ μὲν γὰρ, οὐκ ἔτ' ἐνοχλεῖται. τὸ δὲ, οὐδέποτε δέδοικε. καὶ πολλοῦ δὴ νῦν ὅτι τις τοῦ πρὸς ὑμᾶς πόθου πλέοις κουφίζεται. ὡς γε οὐδὲ τὴν σκάφην σκάφην λέγειν ἀνέχεται, ὥσπερ ἡμεῖς οἱ ἀρχαῖοι καὶ ἄγροικοι, καὶ τῆς τῶν νῦν ἡμερῶν σοφίας εἴτουν σοφιστικῆς ἄγευστοι. ἀλλὰ μυριοφόρον ὁλκάδα τίθεται, καὶ πλεῖ θαρραλεώτερον, ἢ ὅτε κατὰ χέρσου βαδίζει. τοῦτον ἔστειλά σοι οἴκοθεν οἴκαδε. οὕτω γὰρ ἐγὼ κρίνω. τὰ καθ' ἡμᾶς πάσαν τὴν τῆς ἐμῆς παρουσίας χρείαν σοι ἀποπλήσοντα, καὶ ἀντ' ἐμοῦ τῆς ἀγάπης καὶ σοφῆς σου ψυχῆς ἀπολαύσοντα. δι' ἣν ἔγωγε τὸν ἐν ᾅδου Τειρεσίαν ἀποκαλῶν, οἷος πέπνυται, ἀναφαίνομαι τοὶ δὲ, σκιαὶ ἀΐσσουσιν, ἅτε της ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντες. ταῦτα γὰρ ἐμοὶ τὰ τοῖς πολλοῖς μακάρια καὶ οὐ δαίμονα. ἢ καὶ τηροῖτό σου ὑπὸ τοῦ σοφοῦ τε καὶ ἀγαθοῦ θεοῦ πάσης ἀνώτερον κακώσεως καὶ κακώσεως.

Τῷ κυρίῳ Νικολάῳ τῷ Καλλικλεῖ.
Ἐπισ. ιϛ'.

Ἀλλά σύ μοι δραστικὰς τὰς ἀντιδότους ἐπὶ τὰ προσβαλόντα νοσήματα, καὶ μὴ πεφεισμένως ἐγχεῖν τῇ κύλικι τὴν θεοδώρητόν σου καὶ τὴν πανάκειαν. καὶ τὸ κεφάλαιον, τὴν δι' ἐχιδναίων σαρκῶν. ἐν μὲν Θεσσαλονίκῃ προσδοκᾶταί μοι πλήρωσις. ἐν δὲ ταῖς ἐκκλησίαις, χωρὶς δὲ αὗται τῆς ἀρχιεπισκοπῆς, κένωσις. ἐξ ἀμφοῖν δὲ, πάρεσις καὶ παράλυσις. ἆρα μὴ μάτην ἐπικαλοῦμαι τὸν ἐμὸν Ἀσκλήπιον ἐπὶ τηλικαύτην ἐνόχλησιν. τοῦτο μὲν οὐ

 μάτην.

μάτην. ἐκεῖνο δὲ ὅρα, μή τις φαίη μάτην με ῥαψῳδεῖν χεῖρας πλέκοντα. δέον ἐξητεῖν τὴν χρείαν λυσικότερον. τοῦτο δὴ καὶ ποιήσω, καὶ μάνθανε. οἰκίδιον ἡμῖν ἐστιν ἐν * ᾧ ἐγκαταλύομεν, καὶ τὰ χρειώδη ἐναποτιθέμεθα. τοῦτο πληροῦν ἐπιχειροῦσι τινὲς τῶν ὑπὸ τὸν πανσέβαστον αὐθέντην ἡμῶν. ταύτην σύ μοι τὴν πλήρωσιν παράστειλον. οὐδὲν γάρ, εἰ τοῖς ἡμετέροις ἄλλων ἐναποπνιγομένων, αὐτοὶ θύρας ἀλλοτρίας προσεστήκαμεν. τὸ χωρίον αἱ ἐκκλησίαι εἰ μὴ ἀνεπηρέαστον ἐαθείη, εὖ ἴσθι ὡς κενωθήσεται. ἐπίσχες αὐτός μοι καὶ ταύτην τὴν κένωσιν. ὁ δὲ τρόπος τῆς ἐπισχέσεως, μήπω μὲν περὶ τοῦ χωρίου μηδὲν μήτε μεῖζον μήτε μεῖον ἐρεῖς. ὅτι δέ σοι οἱ ἐν τῷ χωρίῳ ἡμέτεροι ἢ ὡς ἐπηρεασμοῦ ἐγγὺς ὄντες, ἢ ὡς ἐπηρεαζόμενοι, προσελεύσονται, τότε μηδενὸς φείδεσθαι μήτε ῥήματος ὑπὲρ ἡμῶν μήτε πράγματος. εἴρηκά σοι τἀμά. δός μοι καὶ πρὸς ἄλλους λέγειν τὰ ἐπὶ τούτοις σὰ τῶν ἐλπίδων ἄξια. ἃς ὁ πάλαι σε λόγος βεβαίας ἐν ἐμοὶ πήγνυσιν. ὁ ἀδελφός μου προσαγορεύσει σε. ἀλλ' ἐκ τοῦ Ταινάρου. δι' οὗ πρὸς τὸν ᾅδην κατάγεται, τῇ φθίσει χειραγωγούμενος. πρὸς τὴν χειραγωγίαν ἐγὼ θεόθεν ἐξαιτῶ πρόσκομμα.

Τῷ αὐτῷ. Ἐπισ. νζ.

Βίαιον ἐγώ σοι χρῆμα ἀεί τι λαμβάνειν δικαιῶν παρὰ σοῦ. χθὲς γοῦν αἰτήσας τὴν πρὸς σοῦ αὐτόθι ἡμετέρους χρηστότητα, καὶ μέντοι καὶ λαβών. οὐ γὰρ κατὰ πτερῶν ἐγὼ ἀπειρίαν ἔμαθον. αὖθις ἐνοχλῶ σου τῇ δρυερῇ τῇ ἱεροβώλακι. καὶ καταβάλλω λόγον αἰτήσεως. ἡ δ' ἐστὶ τῶν τι παλαιῶν βιβλίων χρησθῆναι ἡμῖν. οὐ τοσοῦτον εἰς πρᾶξιν ἰατρικὴν συμβαλόμενον. οὐ γὰρ ὡραῖος ἐγὼ τοῦ

τῶν θε-

τῶν ἔργων τῆς τέχνης μαθήσεσιν, ὅσον εἰς δογμάτων ἐπιστήμην καὶ τέχνωσιν. εἴτε τοίνυν μονόβιβλά σοι παρῇ, εἴτε ἐξηγήσεις Ἱπποκρατείων, ἴσθι ταῦτά σοι βουλομένους ἡμᾶς καρπώσασθαι. ὅπως οὖν μήτε πλεῖόν τι καὶ ὑπέρωρον φρόνημα, μήτε πέτρα καὶ σκληρότης ψυχῆς ἀδυσώπητος, μήτ᾽ ἄκανθαι προφάσεων, τὰς τῶν τεχνικῶν ἔργων φροντίδας ἐφ᾽ ἃ τῶν βιβλίων προβαλλόμεθα, τὸν ἐπὶ τῷ σπέρματι πόνον ἡμῖν ματαιώσωσιν. ἀλλά μοι καρποφέρησον ἡ ἀγαθὴ γῆ ἐν τριάκοντα καὶ ἑξήκοντα. εἰ δὲ τὴν περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων πραγματείαν δεξοίμεθα, καὶ εἰς ἑκατόν σε καρποφορήσαντα θήσομεν. ὁ δὲ τὸν καρπόν μου κομίσων, περὶ τοῦ παγκάλου Σμυρναίου τῇ ἀγάπῃ σου συσταθήσεται. ἣν καὶ ὁ τῆς αὐταγάπης πατὴρ τηρείη ἄδολόν τε καὶ ἀκαπήλευτον.

Τῷ Κίτρου. Ἐπισ. νή.

Οὕτω μοι κρειττόνως σώζοιο, πανίερε ἀδελφὲ καὶ δέσποτα. καὶ οὐ μελήσει μοι τοῦ ἀχύρου τὸν σῖτον ἔχοντι. ἡ δὲ ἐνταῦθα ἐπιμονὴ τέως μὲν ἐδόκει κἀμοὶ εὖ τε καὶ κατὰ λόγον ᾠκονομῆσθαι. ἦσαν δὲ ἄρα δειλοὶ τῶν ἀνθρώπων οἱ λογισμοί, καὶ βέλτιον ἦν ἐμοὶ πρὸς τὴν πόλιν ἀναδραμεῖν, κἀκεῖσε τοὐμὸν τὸ σῶμα θεραπείας ἀξιῶσαι, καὶ σοῦ σὺν ἐμοὶ τῆς τῶν ἐνταῦθα καυσώνων πείρας θέσθαι μακράν. ὧν οὐδὲν νῦν ἀγαθὸν ἀπολαύουσι. καὶ μάλιστά μοι ὁ ἀδελφός, ἵν᾽ ἔχω λοιπὸν ἀποθῆρας παρακλητικῆς ἀναψύξεως. ὁ γὰρ ἐν Ἀχρίδι ἀέρος τὸν ἐνταῦθα ἀλλαξάμενος, τοῦτ᾽ ἐν ἐκείνῃ ὀλιγοφόρου οἴνου, καὶ λεπτοτάτου, καὶ τῶν ἄλλων ὑγιεινοτέρων τροφῶν στερηθείς, κακῶς ἔχει τὸ σῶμα, καὶ πάνυ πονήρως πέπραγεν. ἀνορεξίας μὲν εἰς ἔσχατον

κων, κεφαλαλγὲς περιπαλαίων, καὶ τὴν γαστέρα χυμῶν ἔμπλεω περικείμενος. ὧν πρὸς τὴν τομὴν οὐδενὶ ἄλλῳ τοῦ καιροῦ διδόντος χρῆσθαι, ὀξυσάκχαρι χρώμεθα, καὶ τούτῳ πεφεισμένως. κἂν εἰ καὶ ἑτέροις χρῆσθαι εἴχομεν. ἀλλ' οὗτός γε πρὸς πᾶν ἰατρικὸν δυσχεραίνει πρόσαρμα. διὰ ταῦτα, πενθῶ, καὶ σκυθρωπάζω, τίμιε τοῦ θεοῦ ἄνθρωπε. καὶ τὴν ἐνταῦθα αἰτιῶμαι ἐπιμονὴν, μικρότερον κρίνων ἢ δικαιότερον. εἰ γὰρ θεῷ δέδοκτο λυπηθῆναι ἡμᾶς, ὅπου δ' ἂν ἦμεν, ἐλυπήθημεν ἄν. πλὴν ἀλλ' αὐτὸς τοῦτον ἡμῖν ἐξιλεώσηται. οἶδε γὰρ ἀνομίας ὑπερβαίνειν, καὶ ἁμαρτίας καταδύειν ἐν τῇ θαλάσσῃ. ἥντινά ποτε εἶδεν ὁ ..ιχαίας ταύτην τὴν θάλασσαν, εἴτε τὴν τοῦ βαπτίσματος, εἴτε τὴν τῆς μετανοίας, εἴτε τὴν τῶν αὐτοῦ οἰκτιρμῶν. ἥπερ δὴ καὶ ταῖς ἄλλαις τὸ εἶναι σωτήριον δίδωσι. ταύτην ἡμῖν ἐπαναχύσας αὐτὸς, ἀνασώσῃς ἡμῶν τὴν ἀσθένειαν. βυθίσας ὅσον ἐν ἡμῖν. καὶ ψυχικῶν νόσων καὶ σωματικῶν νόσων Αἰγύπτιον καὶ πολέμιον. μὴ τοίνυν μέλλε. ἀλλὰ τοὺς ἄνωθεν καταρράκτας ἄνοιγε.

Τῷ προέδρῳ, καὶ προξίμῳ, τῷ Παντέχνῃ.
Ἐπισ. νθ'.

ΣΥ' μοι αἴτιος ὄχλου. αἰσθανόμενοι γάρ τινες ὅλον ἐμὸν ὄντα τὸν τὰ πάντα καλὸν κἀγαθόν τε, οὐ παύονται θυροκοποῦντες τὴν ἐμὴν ἀπραγμοσύνην ὥστε διαναστᾶσαν προσαγαγεῖν σοι αὐτούς. ἐγὼ δὲ καὶ ἄλλως νωχελὴς ὤν, ἅμα δὲ καὶ τὰ μὴ τοσαῦτά σε δύνασθαι σαφῶς πεπεισμένος ὅσα οἱ πολλοὶ οἴονται, ὀκνῶ μὲν τὴν ἀρχὴν ὑπακοῦσαι τούτοις. ὡς δὲ βίαν ἐπάγουσιν, ὑπενδίδωμι. καὶ γραφὰς αὐτοῖς πρὸς τὴν σὴν ὑπισχνοῦμαι λαμπρότητα.

τήτων. τοιοῦτός τις καὶ ὁ τὸ παρὸν γράμμα τῆς ἐμῆς ταπεινότητος ἐγχειρίζων σοι. ὅς καὶ τοῦ φιλοσοφωτάτου καὶ δεσπανζίου Σμυρναίου φησὶν εἶναι συγγενής. εἰ μὲν οὖν ἐστὶ χώρα σοι τοῦτον ἄνθρωπον ὠφελῆσαί τι, δόξα τῷ δόντι τοῦ ὠφελεῖν δύναμιν. εἰ δὲ οὔ, καὶ οὕτως μὲν ἐκείνῳ δόξα. τὸ δὲ σὸν πάντως ἀναίτιον. ὃς πάντα πᾶσι βουλόμενος τἀγαθὰ, τὴν δύναμιν οὐκ ἔχεις τῷ βουλήματι σύνδρομον.

* * * * * Ἐπισ. ξ.

Ποθοῦμεν μαθεῖν ὡς ἔχετε, ὑπέρλαμπρέ μοι ἐν κυρίῳ υἱέ. οὐχ ὡς ἡσθησόμενοι διὰ τοῦ μαθεῖν. οἴδαμεν γὰρ ὡς ἀθελήτως, καὶ τί γὰρ οὐ καλῶς ἔχουσιν· ἀλλ' ὡς λυπηθησόμενοι μετριώτερον, εἴγε τῶν ἡμῖν ὑπολαμβανομένων ἔχουσι μετριώτερα. εἰ δὲ καὶ αὐτὸς ποθεῖς μαθεῖν τὰ ἡμέτερα, κανόνα σοι δώσω τὰ σά, πρὸς ἃ βλέπων, οὐκ ἀγνοήσεις ὡς ἔχομεν. εἰ μὲν γὰρ ἐν μέσοις ταῦτα κακοῖς, ἐν ἄκροις γίνωσκε τὰ ἡμέτερα. εἰ δὲ καὶ τὰ σὰ τὴν ἀκρώρειαν ἐδυστύχησε, τὰ καθ' ἡμᾶς ἴσθι οὐρανῷ κάρη στηρίζοντα. ἀλλὰ βούλει δώσω κανόνα; ὑπὸ τῇ ὀφρύσι τοῦ δυσφημεῖν κείμεθα. ἥπερ ἂν νεύσαιεν, ταύτῃ φερόμενοι. ὅποι δὲ νεύουσιν, ὁ ἀεὶ ξυντυχὼν ἐπίσταται. οὗ ῥύσαιτο ἡμᾶς κύριος, ὁ καὶ τοῖς ἐν ᾅδῃ αἰχμαλώτοις κηρύξας ἄφεσιν, τηρῶν καὶ αὐτόν σε πάσης δυσχερείας πραγμάτων ἀνώτερον.

Τῷ αὐτῷ. Ἐπισ. ξα'.

Ἀρκεῖ πρὸς τὸ γνωρίσαι σοι τὰ καθ' ἡμᾶς ὁ ἀδελφός μου, ὑπέρλαμπρέ μοι ἐν κυρίῳ υἱέ, εἴ τι πως χρήζεις γνωρίσαι. ἀλλὰ μὴ αὐτὸς γνωρίζεις ταῦτα καὶ ἄλλοις, ὡς πάλαι ταῦτα μαθών. εἰ μὴ ταῦτα φαίης, ὡς ἄρα τὸ μὲν ποιεῖν τούτων οἶδας, τὸ δὲ πηλίκον ἀγνοεῖς. ὅπερ οὐδὲ αὐτὸν εἰκὸς ἀγνοεῖν σε τὸν εἰδότα ὅπως ἐπὶ τὸ μεγαλειότερον νῦν τὰ τῶν κακώσεων αἴρεται. ὡς ἔγωγε τοῖς ἐμοῖς καὶ τὰ σὰ συλλογίζομαι. ἐπὶ πάντα δὲ καλῶ βοηθὸν τὸν κύριον. ὑφ' οὗ τηροῖο πάσης ἀνώτερος κακώσεως καὶ κακιώσεως.

Τῷ αὐτῷ. Ἐπισ. ξβ'.

Μὴ θαυμάζῃς, εἰ λακωνίζω σοι. εἰ δὲ θαυμάσεις, πείθου τοῦ γραμματοκομιστοῦ, καὶ μαθήσῃ τὸ τοῦ λακωνισμοῦ αἴτιον. τὸ δέ ἐστιν αὐτός. ὃς μόνον οὐ πτεροῖς κεχρημένον ἑαυτὸν πρὸς τὴν δι' ἡμῶν πρόσοδον δηλώσας, τὰς γραφὰς ᾔτησε. ἀλλ' ὑγιαίνοις μοι, καὶ εὐθυμοίης. καὶ μήτε τῆς λύπης νόσος σε καταλάβοι, μήτε φαρμάκων δεηθείης, κἂν ὦσι τοιαῦτα, οἷα ἡ σὴ γλῶττα τὰ τῆς ἀγάπης ἐξυμνῆσε.

Τῷ σεβαστῷ κυρίῳ, Κωνσταντίνῳ τῷ Δούκᾳ.
Ἐπισ. ξγ'.

Εἰ μὲν ἦν τι τοῦ σώματος ἰσχὺς καὶ τὸ τοῦ καιροῦ εὐκραές, πανσέβαστε ἐμοῦ αὐθέντα καὶ μέγιστε ἀντιλήπτορ, ὁδεύειν συνεχώρουν τῇ ἐμῇ ταπεινότητι, ταχὺς ἂν

πρὸς

πρὸς τὴν σὴν ἀναδραμὼν περιωπὴν τὸ ὀφειλόμενον ἀπέδωκά σοι προσκύνησιν. νῦν δὲ, οὐ γὰρ συγχωρεῖταί μοι ὑφ' ὧν εἶπον οὐδὲ τὸ ὑπερβῆναι γοῦν τὴν ὁδὸν τούμου δωματίου, τῷ παρόντι γράμματι μεσίτῃ χρῶμαι τῆς προσκυνήσεως. πάντως δὲ καὶ τὴν διὰ τοῦ γράμματος δέξῃ, ὡς καὶ τὴν διὰ τοῦ σώματος. εἴπερ εἷς ἐγώ σοι καὶ ὁ αὐτὸς ὁ κἀκείνην προσαγαγὼν, καὶ ταύτην προσάγων σοι. ταύτην μὲν οὖν, ὅτι δέξῃ, σαφῶς πέπεισμαι. μᾶλλον δὲ καὶ ἤδη ἐδέξω. καὶ χαριέστατά μοι προσβλέπεις ὡς εἴωθεν. σὺ ἐρωτᾷς λοιπὸν ὅτου δέομαι. ἆρ' οὖν ἐρῶ σοὶ τὴν χρείαν, ἢ αἰσχυνοίμην ἄν, εἴ σε τοῦ Βαρδαρίου ἁρμοστὴν ἐπιστεύντα πράγμασιν, ἔχων αὐτὸς ἐν τῷ Βαρδαρίῳ χωρίον, πρὸς τὸ ἀντιλαβέσθαι τούτου φιλανθρωπότερον διεγείραιμι. ὅς γε καὶ πρὸς ἄλλους βοηθεῖν μοι δυναμένους ἀεὶ μεσίτης γίνῃ τῇ ἐμῇ ἀσθενείᾳ. τοῦτο μὲν οὖν τὸ εἰκὸς ἀπαιτεῖ. πλὴν ἀλλ' ἐπειδὴ καὶ σοῦ τοὺς προδρομοῦντας πτεροῦν εἰώθαμεν τοῖς ἀποφωνήμασι. κἀγὼ τὴν περὶ τοῦ ἀντιλαβέσθαι τῶν αὐτόθι ἡμετέρων ὡς δουλικῶν σου ἀξίωσιν πρὸς αὐτὸ τοῦτο πεποιημένῳ οἷόν τινα προσάγω σοι πτέρωσιν. καὶ γε δεῖξον ἅπασιν, ὡς καὶ πατρῷον μὲν κλῆρον ἔχεις, τὴν χρηστὴν πρὸς τὸν ἀρχιεπίσκοπον συνδιάθεσιν. πολλαπλασίω δὲ ταύτην αὐτὸς πεποίηκας, ἵνα σοι καὶ θεὸς, ᾧ χαρίζῃ ὅσα ἐμοὶ χαρίζῃ, πολλαπλασίῳ τῆς πατρῴας δόξης ἐπιβραβεύσῃ, καὶ πᾶσιν ἀγαθοῖς ἀποδείξῃ μακαριώτερον, τηρῶν καὶ πάσης ἀνωτέρω κακώσεως καὶ κακύνσεως.

Τῷ

Τῷ αὐτῷ. Ἐπισ. ξδ'.

Εἰ καὶ μικρὰν τινὰ ἰχθύων ἀποστολὴν, καὶ οὐκ ἀξίαν τῆς σῆς μεγαλειότητος, ποιούμεθα, πανσέβαστέ μου αὐθέντα, καὶ μέγιστε ἀντιλήπτορ, ἀλλ' οὖν εἰδότες ὅτι καὶ διακριτικός σου, καὶ περὶ τὰ τοῦ θεοῦ σφόδρα εὐλαβὴς, ἅτε ἄμφω ταῦτα πατρῴζων. καὶ ὅτι ἐκ μὲν τοῦ, λογίσῃ, τὸ μηδεμίαν ἡμᾶς ἐξουσίαν τῆς καθ' ἡμᾶς λίμνης ἔχειν ἐκ τοῦ τοῦ, ὡς εὐλογίαν τῆς δεσποίνης ἡμῶν καὶ θεοτόκου μητρὸς, ἀποδέξῃ τὰ σμικρὰ ταῦτα. εὐλογίαν δὲ πᾶσαν ἡλίκη ἂν εἴη μέλλῃ τίθεσθαι. διὰ τοῦτο καὶ τεθαῤῥηκότες τὴν ἀποστολὴν πεποιήμεθα. εἰ μὲν οὖν καλῶς εἶδε τὰ κατά σε ὁ ἀρχιεπίσκοπος, δεῖξις ἐστὶ, ἡδέως ταῦτα δεξάμενος. εἰ δ' αὖ, καὶ τοῦτο τῶν ἐμῶν ἁμαρτιῶν θήσομαι. πλὴν ἀλλὰ πέποιθα ὥστε πρῶτον ἔσται, καὶ ὡς εὐλογίας ταῦτα προσοίσῃ τῆς ἀπειρογάμου τοῦ θεοῦ νύμφης. ἣ καὶ εἴη σοὶ φρουρὸς ἐν βίῳ παντὶ, πάσης ἀνώτερόν σε τηροῦσα κακύνσεως καὶ κακώσεως.

Τῷ μαγίστρῳ, κυρίῳ Ἰωάννῃ τῷ Παντέχνῃ.
Ἐπισ. ξέ.

Καὶ τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι. διήγαγε διὰ τῆς ὑγρᾶς οὕτως ἀσφαλῶς, ὡς οὐδὲ διὰ ξηρᾶς. ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν. ἀσθενείας πολυημέρου ἐρύσατο, καὶ περιέζωσε δύναμιν ὡς τοῖς πάλαι εἶναι τὰ νῦν ἐφάμιλλα. οἷον τοῖς περὶ τὸν Ἐζεκίαν λέγω καὶ τοῖς ἐν τῷ ποταμῷ Χοβὰρ τῷ τῶν μεγάλων ἐπόπτῃ θεωρηθῆναι Ἰεζεκιὴλ. ὅτι δηλαδὴ πνεῦμα ζωῆς καὶ παλιγγενεσίας νεκροῖς ὀστέοις ἐνεκαινίζετο. ἵνα μὴ

λέγω

λόγω τοῦ τοῦ ἐμοῦ Ἰωάννου. ποιθερὰν Πέτρου, καὶ βασιλικοῦ υἱόν, καὶ ὑδρωπικὸν καὶ παράλυτον ἐκ πυρετοῦ ἀναψυχωμένους, ἐκ καχεξίας εὖ κρατουμένους, ἐκ παρέσεως συναρμοζομένους χάριν οὖν τῷ δωρεὰν σώζοντι, καὶ μὴ κατὰ τὰς ἀνομίας ἡμῶν ποιοῦντι, ἀλλ' ἁμαρτίας παρορῶντι, καὶ ἐγκλήματα ὑπερβαίνοντι. ἐμοὶ γὰρ, λαμπρότατέ μοι αὐθέντα, ἐπιβάντι τοῦ πλοίου, ἡμέρα δὲ ἦν καθ' ἣν μοι ἡ περίοδος προσδοκήσιμος, ἐπισυνέβη πρᾶγμα πάσης ἐλπίδος ἐξώτερον. ναυτία, καὶ σιελισμὸς, καὶ τὸ παρακολούθημα ἔμετος. καὶ τὸ ἐκφερόμενον ὑγρὸν ὠμὸν καὶ ἀσύστατον. κἀπὶ τῷ τέλει, χολῆς τι μέρος. μικρὸν δὲ διαλιποῦσι, πάλιν τὰ αὐτά. πλὴν ὅσον ἡ χολὴ πλείων, κἂν τῇ διεξόδῳ πλέον δριμύτερα. προσεδόκων μὲν οὖν καὶ τὴν ἐπισημασίαν τοῦ τεταρταίου συμβῆναι κατὰ τὸ συνῆθες. ὁ δὲ ἄρα τῷ χυμῷ καὶ τῇ χολῇ συναπέπλυτο, καὶ φόβον ἄφοβον ἠλέγχθην φοβούμενος. ἧκεν αὖθις ἡμέρα περιόδου, καὶ δυσελπίστως ὁ πάντα δῆλος ἐγώ. καὶ ὁ θεὸς ὁ αὐτὸς ἦν, καὶ οὐκ ἠλλοίωτο. καὶ φροῦδον τὸ κακὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. καὶ νῦν ἀποσέσωσμαι ἔστι κατὰ τὴν Θεσσαλονίκην ὁ βαρύνοσος ἄνεσος. καὶ τοῦτ' ἐκεῖνο ἦν ἄρα τῆς παροιμίας σοφόν. ὡς ἔστι τι καὶ χολῆς ὄφελος. καί που τοῖς κατὰ ταῦτα χρόνοις δώσω παράδειγμα, ὅτι κλύδων εὐδίαν χαρίζεται, καὶ τάραχος εἰρήνην. καὶ ῥώννυται σῶμα τῆς τοῦ στομάχου κακώσεσιν. ἀλλὰ ταῦτα μὲν ταύτῃ. τὰ δὲ κατὰ τὴν Ἀχρίδα πάντα φόβου μεστά. καὶ τὸ τοῦ Μόκρου μέρος, ὁ δὲ Μόκρος τῆς Ἀχρίδος τμῆμα, παρὰ τοῦ δούλου καὶ ἀποστάτου λελῄσται ἡ δὲ Βαγενεὰ. ὄρος δὲ αὕτη παμμέγα, καὶ τοῖς Βουλγαρικοῖς καὶ Δυρραχικοῖς ὄρεσι μεσιτεῦον, παρὰ τοῦ ἀντάρτου φυλάττεται. καὶ συνόλως εἰπεῖν, πάντη κακὸν κακῶς ἐστήρικται. ἀλλὰ θαρροῦμεν θεῷ, καὶ τοῖς σοῖς

κηδεπίστου βασιλέως ἀγῶσιν. ὅτι τῇ σαύρᾳ γοῦν ταύτῃ θαλφθείη τῶν τῶν εὐεργεσιῶν τοῦ βασιλέως ἀκτῖσι. καὶ διὰ τοῦτο κεφαλὴν ἀράσῃ, οὐδ' ἔστιν ὅπου ἔσται κατάδυσις. ὁ γάρ τοι πανσέβαστος σεβαστὸς καὶ πρωτοστράτωρ, κύριος Μιχαὴλ, παρὰ τοῦ βασιλέως ἐστάλη, ἐφ' ᾧ συλλέξαι τε ἄνδρας, καὶ τῷ καθάρματι ἀντιτάξασθαι. καὶ δὴ συλλέγει. καὶ δὴ προσβαλεῖ τι αὐτοῦ, καὶ τῇ χώρᾳ αὐτοῦ ἐμβαλεῖ. καὶ ὁ ἀμύνων ἡμῖν θεὸς ἥξει, καὶ οὐ χρονιεῖ. καὶ ὁ δοῦλος Ἱερουσαλὴμ τῇ ἀποστασίᾳ κατὰ τὸν Σολομῶντος χρίνας ἐπιβαλόμενος, οὐδὲν πλέον δράσει τοῦ κακῶς βουλεύσασθαι ποθῶν τὴν βασιλείαν. ὦ γῆ καὶ ἥλιε, καὶ βασιλείας ἀγλύξα, καὶ ὕψος ἀρχῆς ἀσύγκριτον, οὐδὲ τοῦ δοῦλος εἶναι βασιλέως ἀξιωθήσεται. ἐγὼ δὲ ἅμα τῷ τὴν Θεσσαλονίκην κατὰ λαβεῖν, εἴ που Δαίδαλον εὗρον, πτερὰ ἀνέμαυτῷ περιηρμοσάμην, καὶ ἐπετάσθην, καὶ πρὸς τὴν Ἀχρίδα κατέπτωσα. ἀλλ' οὔτε Δαίδαλον εἶχον, οὔτε φίλον τῇ χρείᾳ μοι συμβαλλόμενον. ἄλογος τοίνυν μισθωσάμενος, ἤδη ἄπειμι.

Τῷ Ἐπισκόπῳ Κίτρου. Ἐπιστ. ξϛʹ.

Ἔστι καὶ γράφοντας μὴ ἀγαπᾶν, καὶ μὴ γράφοντας ἀγαπᾶν, ἡμεῖς ταῦτα ἀδελφὲ καὶ δέσποτα. τὸ μὲν, τῇ ζύμῃ τῶν Φαρισαίων χρώμενον, ἣν εἶναι τὴν ὑπόκρισιν ἐδιδάχθημεν. τὸ δὲ, ἀσχολίαις περιεχόμενον, ἃς ἡμῖν ἐπιφέρει τοῖς κουφοτέροις ἡ καθ' ἡμᾶς τοῦ βίου μεγάλη δυνάμεις. μή μοι τοίνυν τὴν ἀγραφίαν ἔχειν ἐν λόγῳ, ἀλλὰ τοῦ μείζονος ἀπολαύειν τοῦ τῆς ἀγάπης καλοῦ, ἐλάττονος φροντίδος ἀξιοῦν δικαίῳ, τὸ ἔλαττον καὶ τὴν τῶν δεξιῶν περιττὴν χεῖρα τοῖς πανταχόθεν βαπτί-

ζεσθαι

ζεσθαι κινδυνεύουσιν. ὡς γὰρ οὐκ ἀρκούντων τῇ ἀσθενείᾳ τῆς ἐμῆς ψυχῆς τῶν ἄλλων βαρῶν, ἐπειδὴ καὶ ὁ τοῦ ἀδελφοῦ θάνατος, ἀδελφοῦ, τῆς ἐμῆς ἐξηρτημένου πνοῆς, καὶ πάντα ὄντως ἐμοὶ καὶ παραβαλλομένου, καὶ πρὸς αὐτό, φασι, πῦρ καὶ κατὰ ξιφῶν κυβιστῶντος, ἵν' αὐτοὺς ἐν ἀθυμίᾳ καὶ ἀλυπίᾳ διάγοιμι. οὗ στερηθείς, ὅσης χρήζω τῆς ἄλλοθεν βοηθείας, οὐκ ἂν δυναίμην λόγῳ δηλῶσαι. ταύτης οὖν τὸ μεῖζον μέρος αἱ τῆς σῆς ἡμιότητι δίχα μοι γένεσθωσαν, ἀεὶ πλείους τῶν συνήθων ἐπιδιδόμεναι. τάχα δ' ἂν ἐπ' ὀλίγον ἐπιδοθείεν. ἴσως γὰρ τῷ χρηστοτάτῳ ἀδελφῷ πρὸς τὴν αὐτὴν ἀποδημίαν ἑψόμεθα. αἰσθανόμεθα γὰρ τοῦ σώματος εἰς παντελῆ ἀσθένειαν ὑπορρέοντος, καὶ πέπονθεν ὅπερ εἰς αὐτὸ δρᾶν ἡ συνεζευγμένη ῥοπὴ πέφυκεν. εἰ μὴ ἄρα τόγε μάλιστα τοῦ ῥηθέντος βοηθήματος δεηθησόμεθα, ἵνα μὴ πάνυ τι πολλὰ ἐν ἡμῖν ὁ ἐδοσιάτης εὕροι, μηδὲ σφόδρα μεγάλα, ἐξ οὗ σημείου οὖν κατ' ἐμὲ τῇ αὐτοῦ μερίδι προστίθησι. ἀλλ' εὑρεθῶμεν δοῦλοι τοῦ ἀληθοῦς δεσπότου. ἐν ᾧ οὐδὲν εὗρον οὗτος ὁ λῄσταρχος. ὑφ' οὗ καὶ πρὸς τὴν ἀποδημίαν ἀπρόσκοπα χειραγωγηθείημεν, ὡς δεξιᾶς τοῦ πατρὸς πάντας οὖν ἀνθέλκειν βουλομένους ἀπορραπίζοντος.

Τῷ Ἐπισκόπῳ Λέβρης. Ἐπισ. ξζ.

Ο μὲν χρηστότατός μοι ἀδελφός, ἡμιότητι πανεπίσκοπε, ὑπὸ κυρίου προσληφθείς, μακάριος ὄντως ἐστὶ τῆς προσλήψεως. αὐτοὶ δὲ ὑπελείφθημεν ἐν τῷ τῆς λύπης χώρῳ, τοῖς τοῦ σκοτασμοῦ σκηνώμασι, τῇ κοιλάδι τοῦ κλαυθμῶνος. πᾶσιν ἐκκείμενοι τοῖς τῆς λύπης χωρίῳ πονηρίας πνεύμασιν. ἀποκλαυσάμενοι μὲν

τὸν ἀδελφὸν, ὅσον ἡ φύσις ἀπῄτει. καὶ ὁ παλαιὸς Ἀδάμ. ταχὺ δὲ πρὸς τὸν τῆς φύσεως καινιστὴν ἀποβλέψαντες λέγει τὸν δεύτερον Ἀδὰμ, καὶ τὸν πρότερον θεόν· ὃς καὶ πένθους ἡμῖν νόμους ὥρισεν· ᾧ καὶ πεποίθαμεν, ὅτι τὸν πάντα ἡμῖν γενόμενον ἀδελφὸν προσλαβὼν, οὐδὲ τοῦ λοιποῦ ἐάσει ἀβοηθήτους· ἀλλὰ δώσει πάντως τοῖς ἀσθενοῦσιν ἰσχὺν οἷς οἶδε τρόποις. ὁ καὶ διὰ τοῦ ἀδελφοῦ ἐνισχύων πρότερον. καὶ αὐτὸς γὰρ τοῦτ' αὐτὸ ζητεῖ ὑπὲρ ἡμῶν παρ' αὐτοῦ, προσεπιζητῶν τὸ καὶ εἰς τὴν λαχοῦσαν σε τάχιον ἐπανελθεῖν, τὰ τῆς αὐτοῦ ποίμνης, ἣν ἐνεχειρίσθης, ἐπισκεψόμενον πρόβατα.

Τῷ σεβαστῷ καὶ δουκὶ Βερροίας, κυρίῳ Κωνσταντίνῳ, τῷ υἱῷ τοῦ Σεβαστοκράτορος.

Ἐπιστ. ξη'.

Ὁρῶν μου τὸν ἀδελφὸν διακεχυμένον, ἡνίκα ἡμῶν ἐχωρίζετο, καὶ τὸ τῆς ψυχῆς γῆθος τῷ προσώπῳ ἐπισημαίνοντα, ἐθαύμαζον τὸ ἄηθες τοῦ ὁράματος. καὶ μέχρι μέν τινος τὸν θαυμασμὸν κατ' ἐμαυτὸν ἔπεττον. ἐπεὶ δέ μοι ἐξενίκα τὴν τοῦ λογισμοῦ δύναμιν, ἐπυθόμην τοῦ ἀδελφοῦ τὸ τῆς φαιδρότητος αἴτιον. καὶ ὅτι ἐθαύμαζον, ἀπεκάλυψα. ὁ δὲ, μᾶλλον αὐτὸς θαυμάζειν ἔφησεν ὅτι ἐθαύμαζον. οὐ γὰρ ᾔδεις εἶπεν ὡς ἐλπίζω τὸν σεβαστὸν ὄψεσθαι; ἡ δ' ἐλπὶς ἤδη πηγὴν εὐφροσύνης ἐντός μοι τῆς καρδίας ἀνέρρηξεν· ἧς αἱ φλέβες καὶ ἄχρι τοῦ προσώπου ἀναπιδύουσιν. ἀνέδακον τὰ χείλη τούτων ἀκούσας ἐγώ. καί τι μικρὸν τὴν κεφαλὴν ἔνευσα, ὥσπερ οἱ ἀναμιμνησκόμενοι. εἶτα καὶ περιβαλὼν τὸν ἀδελφὸν, ἐμακάριζον, ὅτι τοιούτου καταπολαύσει θεάματος. καὶ σοὶ

τῆς

τῆς τοῦ ἤθους ἀμβροσίας κατευωχήσεται, καὶ τοῦ νέκταρος ἐμφορήσεται. οὕτω πάντας ἑλκύεις πρὸς ἑαυτὸν τῇ ἀληθῶς χρυσῇ σειρᾷ τῆς χρηστότητος. μὴ παύσαιο τοίνυν ἐπιπλέκειν ἀεὶ ταύτῃ, ἵνα πλείους ἑλκύειν δύναιο. τὸ γὰρ ἐπὶ τὸ μὴ ἀναλύειν παρακαλεῖν, οὔτε τῆς σῆς αἰσθανομένου μεγαλογνώμονος φύσεως, οὔτε τὰς ἐπί σοι ἐλπίδας ἀδρὰς καὶ εὐγενεῖς τρέφοντος.

Τῷ ἀποχαρτοφύλακι, κυρίῳ Νικηφόρῳ.
Ἐπισ. ξθ΄.

ΑΥτοῦ μὲν τοῦ σώματος κακῶς ἔχοντος, πανάγιε δέσποτα, βραχὺ τὸ γράμμα εἰκότως γίνεται, καὶ ὅσον ἱκανὸν πρὸς τὸ τὰς σὰς εὐχὰς μόνον βοηθοὺς ἐξαιτήσασθαι· ἃς καὶ αἰτοῦσι δίδου νῦν μάλιστα, ὁ καὶ ἀεὶ πάντα ἡμῖν τἀγαθὰ βουλόμενός τε καὶ ἐπευχόμενος.

Τῷ Παλαιολόγῳ. Ἐπισ. ο΄.

ΔΙὰ τῆς μεγίστης σου ἀντιλήψεως, πανσέβαστέ μου αὐθέντα, μετρίας ἐτύχομεν ἀναπαύσεως ἔν γε τοῖς κατὰ τὴν Ἀχρίδα ὑπολειφθεῖσι τῇ ἐκκλησίᾳ ὀλιγοστοῖς. ἔμελλες γὰρ ἀνύσαι ἣν κατεπάδων τοῦ πράκτορος ἡμῶν ὑπὲρ τῆς ἡμετέρας ἀσθενείας. ὅθεν οὐ παυόμεθα ὅπερ ἔχομεν εἰσφέροντες τῇ παραμίλλῳ σου ἀγαθότητι. πρὸς μὲν θεὸν, εὐχὰς, ὡς αὐτοῦ λειτουργοί· πρὸς δὲ ἀνθρώπους, εὐχαριστίας, καὶ εὐφημίαν. κἂν εἰ μικρά σοι μέλλει τῆς εὐφημίας διὰ τὴν τῆς ἀνθρωπίνης ἀσθενείας συναίσθησιν, ἣν ὁ λόγος ἐνειργάσατο. ἀλλὰ μὴ παύσαιο τὴν ἔρημον ταύτην ἡμῶν ἐξημερῶν οἰμωγῆς, ταῖς σαῖς ὑπὲρ

ἡμῶν ἀεὶ θαυματουργίαις. οὕτω γὰρ ἐγὼ τὰς σὰς ὑπὲρ τῆς ἡμετέρας ἐκκλησίας ἐν ἀδύτοις τίθεμαι· αἷς οἱ τῶν ἑκάστοτε πρακτόρων σκοποὶ ἀμβλύνονται. εἰ μὴ γὰρ αὐτὸς ἡμῶν καθέστηκε βοηθὸς, οὐδὲν τὸ κωλῦον ἡμᾶς καταναλωθῆναι ὑπὸ τῶν ὄφεων, οὓς πολλοὺς ἡ ἔρημος αὕτη τρέφει, ζωουμένους καὶ ἀδρυνομένους τῇ ἄνωθεν ἐκχωρήσει, ἣν αἱ ἁμαρτίαι ἡμῶν ἐπισάγουσιν. οὕτω γάρ σοι καὶ πλείους τοὺς στεφάνους ὁ δίκαιος πλέξει κριτής τε καὶ βραβευτὴς ἐν ἡμέρᾳ ἀνταποδόσεως. τηρῶν κἀνταῦθα πάσης κακώσεως ἀνώτερον καὶ κακιώσεως.

Τῷ πρωτασηκρῆτις, κυρίῳ Γρηγορίῳ τῷ Καματηρῷ. Ἐπισ. ϛα.

Πάντων ἐγὼ μακαριώτατος νῦν, εἴ σε διά τε τὸν ἀδελφοῦ καὶ τῆς ἐπιστολῆς εὐηργέτησα, τὸν δύο λαχόντα μακαριότητας καί γε τὴν μὲν ἐλαχίστῳ, καθά φησιν ὁ κύριος, ἀγαθύνοντες, οὔτε νοῦ ληπτὰς, οὔτε λόγῳ ῥητὰς ἀμοιβὰς ἐλπίζομεν. εἰ δὲ τηλικοῦτον εὐεργετοῖμεν, ἡλίκον αὐτόν σε τό τε τοῦ λογοθέτου ἀξίωμα τέθεικε, τοῦ πάλαι βασιλεῖ συνεδρεύοντος, καὶ τὸ τοῦ πρωτασηκρῆτις ὀφφίκιον, τοῦ ἀεὶ τοῖς αὐτοκράτορσιν ὑπογραμματεύοντος, καὶ μάλιστα νῦν ὅσῳ καὶ σοφώτερος ὁ αὐτοκράτωρ καὶ ἐμμελέστερος, ὥστε καὶ τά τε ἄπτα καὶ τοὺς λόγους αὐτουργεῖν, βαβαί μοι τοῦ πλήθους καὶ μεγέθους τῶν ἀμοιβῶν. ὧν ἤδη καὶ ἀρραβῶνας δέχομαι. καὶ εἰ μή σε ἤδειν ἀποκναίσων τῷ μήκει τοῦ γράμματος ἱκανῶς ὑπὸ τῶν γραμμάτων κεντούμενον. ἃ καὶ παθήματα τῆς ψυχῆς δριμέως ἡρμήνευσας, ἄλλον τρόπον τοῖς τοῦ Σταγειρίτου χρησάμενος, ἀπηριθμησάμην ἄν σοι τοὺς ἀρραβῶνας κατ' εἶδος ἕκαστον.

ἕκαστον. νῦν δὲ ἀλλ' ἑνός σοι ἐπιμνησθήσομαι. ἐπυθόμην τοῖς Βαρδαειώταις ἐπαφεθῆναι τὸν πανσέβαστον υἱὸν τοῦ πρωτοστράτορος, τά τε ἄλλα πατρώζοντα, καὶ τὴν πρὸς τοὺς λόγους διάθεσιν, τὰ ἐμὰ παιδικά. οὓς ἡμῶν ἀξίως τῆς σπουδῆς, ἣν ἐπ' αὐτοὺς κατεβάλετο, οὐδὲ ἡμᾶς δοκοῦντας μὲν ἐν τούτοις εἶναί τι, ὑπὸ δὲ τὰς αὐτοῦ γενομένους χεῖρας ἀπειράστους ἐάσει τῆς ἰδίας μεγαλειότητος. ἀλλ' ἀπολαύσομεν ἡλίκων ἀεὶ μεμνησόμεθα. ἆρά σοι μικρὸς οὗτος ὁ ἀρραβὼν, ἢ καὶ πραγματείας κερδαλεωτάτης κεφάλαιον. ἐγὼ μὲν, οὐδ' ἔχω χωρῆσαι τοῦτον. τοσοῦτόν ἐστι τῆς ἐμῆς στενοχωρίας πλατύτερος. οὕτω γοῦν μεγάλα κερδάνας, ἐφ' οἷς σε εὐεργέτησα, ἡδέως εὐεργετήσω καὶ ἕτερον. καὶ γνωριῶ σοι τὸν ἐμὸν Κύκλωπα τοῦθ' ὅπερ ᾔτησας διὰ τοῦ καθαροῦ καὶ μαργαρώδους σου γράμματος. ἔστι τοίνυν οὗτος ὁ πρὸς τῇ ἀνδροφαγίᾳ καὶ ἕνα μοι ἀεὶ δεικνύων ὀφθαλμὸν, οὐδέποτε τῇ ἐμῇ κακώσει ἐπιδιάζονται. κἂν συναχθείη πρὸς τὸ συννούστερον. κἂν διαχθείη πρὸς τὸ ἁπλούστερον. κἂν χαριεντίσωμαι πρὸς αὐτὸν ἂν πλήρει τῷ γαύλῳ προσοίσω τὸν Πράμνειον, ὃν μοι δῶκε Μάρων εὐώδεος υἱὸς τὸν ἔτι παραμένοντά μοι λέγων ἐν τῷ ἀσκίῳ τοῦ σώματος τὸ πᾶσαν μαραῖνον αἰτίαν φάρμακον. ὁ δ' ἐς ἕνα καὶ τὸν ἀεὶ τὸν ἐπιβάλλει μοι ὀφθαλμὸν, μιᾶς ἐνδεικτικὸν διαθέσεως καὶ ὡς εὐσεβῶν ἐπὶ τύχαις κομμῶ. περιαιρεθήσεις, ἴδε τίς ἔχει πρός με τουτοτρόπως κἂν εὕροις τοῦτον, τὸν ἐμὸν ἂν ἔγνως Πολύφημον. ὁρᾷς, μόνον οὐ τὸν δάκτυλον τοῦτόν σοι ἔδειξα. ἐπὶ τούτων κρεῖττον, εἰ μάτην ἐπιβοῶμαι τὴν ἐμὴν παρθένον, καὶ τὸν κελεῖν τῇ προσδεθέντα τῷ φυτῷ τῆς ἀφέσεως. δέδοικα γὰρ μή με φθάνῃ ξενίσαι ἃς ἐπαγγέλλει) οὕτως οὖν ἔχοντι, χρηστότατον ἐποίησας ἔργον, ἀφεὶς μοι τὸ τῆς ὕβρεως ἔγκλημα. τοῦτο γὰρ ἐκεῖνο οὐκ ἐπενέβης κερδίμ' ὤ.

κείμενον, οὐδὲ νεκρὸν ᾐκίσω τὸν Ἕκτορα καὶ τοῦτ' ἀπονάμε-
νος, ἔχεις τῆς παρὰ τῷ βασιλεῖ προεδρίας, οὗ τῆς χρηστό-
τητος καὶ οἱ πολέμιοι μάρτυρες. διὸ καὶ ὁ θεός σε τῆς φιλαν-
θρωπίας ἀμείβεται τὴν ψυχαγωγὸν ἀηδοὺς παράκλη-
σιν, τὸν ἡδὺν Θεόδωρον, τὸν ὄντως Χρυσήλιον, τὸν ἐκ δυοῖν
ἀσυγκρίτων ἐν κόσμῳ πραγμάτων τὴν ἐπωνυμίαν ἐρα-
νισάμενον. καὶ φυγόντα μὲν τὴν ἡμετέραν τὴν καματη-
ρὰν ἀληθῶς, ἀκάματον δὲ γενόμενον. ἢ πῶς ἄν σοι το-
σαύτας τέχνας καὶ οὕτω πεπαίδευτο, εἰ τὴν φύσιν εἶχε
καματηρὰν καὶ ὀκλάζουσαν· πῶς δ' ἂν στρατιωτικὴν καὶ
γεωμετρικὴν εἰς ταυτὸ συνήγαγε, καὶ συνῆψε τὰ μακροῖς
θριγγίοις ἔκπαλαι διειργόμενα, μετ' Ἀρχύταν, μετὰ
Φιλόλαον, μετὰ τὸν Αἴλιον Ἀδριανόν, μετὰ τὸν ἔκπλωτον ἡμῖν
Ἰουλιανόν. ἀριθμητικὴν μὲν οὖν αὐτὸν ᾔδειν, ἀφ' οὗ τοὺς
Βαρβαρώτας ἐπέπλευ. ὅς γε καὶ μέσων ἠρίθμει νυκτῶν·
ἐξέπληττε γὰρ αὐτὸν τοῦ ὕπνου ἀριθμητικόν τι θεώρημα·
ἐπεὶ μηδὲ τοῖς ὕπνοις ἐνεβυθίζετο· ἀλλ' εἶχε καὶ αὐτὸς
ἀληθῶς λέγειν· ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ·
καὶ ἀεὶ δέ τι ἠκριβολογεῖτο. καὶ ὅπως τὴν μονάδα εἰς μέρη
τέμῃ, καὶ ἀμαθεῖς δείξῃ τοὺς ἀμερῆ λέγοντας. ὁ δὲ, καὶ
κύβους ᾔδει, καὶ κυβοκύβους. καὶ τοῖς μὴ εἰδόσιν ἑρμηνεύε-
γεωμετρίαν ἥ, οὔπω ᾔδειν. καίτοι τό γε εἰκὸς αὐτὸν ἀπή-
τει τὴν γῆν συχνάκις μετρεῖν, ἀεί τι σφαλλόμενον. εἰ δή τι
καὶ μουσικὸς γένοιτο. δίκαιον ἦν, τὸ γὰρ ἀριθμητικὸν τῷ ἀρ-
μονικῷ συγγενές ἐστι καὶ περί τι διωρισμένον ποσὸν ἄμ-
φω ἔχετον. γένοιτο δ' ἂν, εἰ πρῶτον μὲν ἐπιβαίη τῶν
ἀσκημάτων, τῶν τὸ πνεῦμα χορηγούντων τοῖς χαλκοῖς
δόναξι, καὶ μάθῃ ταῦτα πρὸς ῥυθμὸν διαστέλλειν τε καὶ συ-
στέλλειν. ὥστε τῇ μὲν πληροῦν, τῇ δὲ, ἀποκενοῦν. ἔπειτα καὶ
τοὺς κανόνας ἀμφιψηλαφῴη, καὶ ἁπλῶς τοῖς τι ἄλλοις

ἐμποδώ-

ἐμπεδουστοῖς ἐργάνοις, καὶ τοῖς ἐντατοῖς καὶ ὑδροστάσεις
ἐνασκηθείη. τότε δὴ καὶ ἐπὶ τὴν πολυύμνητον σφαιρικὴν
ἢ ἀστρολογίαν ἄξει, οὐχ ὡς ἀδελφὴν μόνον οὖσαν. γεω-
μετρίας ὕλη γὰρ τὸ πηλίκον ἀμφοῖν· ἀλλὰ καὶ ὡς προεπι-
τηδεύσας αὐτὸς τὴν ὁμώνυμον σφαιρικὴν, ἣν καὶ ἔφιπ-
πος ὑμῖν ἐπεδείξατο. καὶ δὴ τὰς τύχας λέγων τὰς γυναι-
ξὶν οὐκ ἐν ταῖς τριόδοις, κατὰ τοὺς μάντεις τοὺς δὴ τοὺς
ἀγύρτας, ἀλλ' ἐπ' ἐργαστήριον, ὡς ἂν σεμνύνωσι τὸ μάθη-
μα, αὐτόθεν τι χρηματίσεται, καὶ ἔτι οὐδὲ θησαυρὸς αὐτὸν
λήσεται ὅπου δὴ τῆς γῆς κατορωρυγμένος, θησαυροῖς αὐ-
τὸν κορέσαι δυνάμενος, κατ' ἐκεῖνον τὸν Ἀττικοῦ, τοῦ τὸν
σοφιστὴν τεκόντος Ἡρώδου. καὶ δεήσει δή ποτε ἐπιδεί-
ξασθαί τι ὧν οἶδε πολλῶν ἐπιτηδευμάτων, οὐκ ἀγνοήσει
τὸν πολεύοντα καὶ τὸν διέποντα, καὶ τὸν κύκλον τοῦ ὡροσκό-
που, καὶ τὸν τῆς σελήνης οἰκοδεσπότην. ἐξ ὧν ἴσως ἔσται
αὐτῷ τὰ κακοδαιμόνια. καὶ μαθὼν ἐκκλινεῖ τὸν κλιμα-
κτῆρα, καὶ τὸν κακοποιὸν διακρούσεται. καὶ Πτολεμαῖον ἕξο-
μεν ἄλλον, εἰ δὲ βούλει καὶ Ἄρατον. καὶ μάλιστα νῦν ὅτε τὸ
χρῆμα τῆς ἐπιστήμης νόμοις ἐλήλαται. τηρήσας δὲ καὶ τὰς
τοῦ ἡλίου διφρελασίας τὸ ἅρμα ἐλαύνοντος τὸ πλεῖον, καὶ
τὴν ἡνιοχικὴν ἐκμαθήσεται. καὶ οὕτως ἔσται οὐ μᾶλλον ἐπω-
νύμως ἢ φερωνύμως Χρυσήλιος, κἂν αἰτήσασθαί ποτε
καὶ τοῦτο ἐπιδείξασθαι. ὑποζεύξει τῷ ἅρματι τὰς ἡμιόνους
τὰς ἡλικιώτιν ἐκείνων. αἳ τὸν Πρίαμον ἐπὶ τὰς Ἀχιλ-
λέως σκηνὰς ἐπόρευσαν. ἢ δὲ ὑποδραμεῖται Ἁρπυίας ἵνα μὴ
βαρυνθείη σαρξὶν, ἀλλ' οὖσα κούφη καὶ περιβεβλημένη τὸ
σῶμα. καὶ μάλιστα εἰ νόσον προσήσεσθε θημωνίας κρι-
θῶν, ἃς ἔψεται καινὸν καὶ ποθητὸν θέαμα. ἢ που καὶ ἡ γαστὴρ
αὐτῇ ἀναδραμεῖται κατὰ τὰς χήνας καὶ τοὺς σιτοῦντας. εἰ
δὲ καὶ πνεῦμα εἴη σφοδρὸν, ἀρεῖ ταύτην μετέωρον. καὶ τὴν

διφρηλάτην δηλαδὴ τοῦτον, ὡς ἐκείνης κουφότερον. ἐκτὸς εἰ μὴ περιέζωσται στατῆρας ὡς εἴωθεν. εἰ τοίνυν μέλλει σοι καὶ ἁρματηλάτην τοῦτον ἰδεῖν δοκιμώτατον, καὶ τοῖς τῶν χρωμάτων ἐπωνύμοις δήμοις περιμάχητον θρέμμα, καὶ πᾶσι Φιλίπποις εὔφημον λάλημα, μηκέτι τοιαύτην ἔχει φύσιν ἐν τῇ τῆς ἐχούσης ἡμᾶς Μακεδονίας στενοχωρίᾳ. ἀλλὰ λῦσον ἐπὶ τὴν Λάρισσαν. ἡ γὰρ Θεσσαλία τούτου οἰκειοτέρα, καὶ ἡ πεδιὰς, ἡ Φαρσάλιος. ὧν τῷ πλάτει τὰς μὲν, ἐπιδείξεται τῶν ἐπισήμων καὶ τεχνῶν. τὰς δὲ, πρὸς τὸ μαθεῖν συνεργῷ χρήσεται. πρὸς ἡμᾶς δὲ διαβὰς οὔτε ταῖς ἄλλαις· οὔτε τῇ γεωμετρικῇ ἐμφιλοτιμήσεται. τῶν μὲν γὰρ, ἀνεράστως ἔχω τῆς ἐπιδείξεως. τῆς δὲ, τόπος ὄντως οὐκ ἔστι παρ' ἐμοί. πάντες γὰρ ἡμῖν ὑπὸ τῶν ἄνωθεν κατακλυσμῶν ἀπεθαλαττώθησαν. μίαν μοι τέχνην ἔχων ἥξει χρησίμην. εἴ γε ἐπίσταται τὴν ᾀσματικήν τε καὶ χοροστατικήν. μέρος μὲν οὖσαν καὶ αὐτὴν ἢ εἶδος ἁρμονικῆς, οὐ πᾶσι δὲ πάντως σπουδαζομένην. ὅτι μὴ μόνον τοῖς καθ' ἡμᾶς. ὡς ἢ μὴ παραβαλέτω τῇδε, ἢ ὡς ἐπ' ἐκκλησίας ᾀσόμενος ποικιλώτερόν καὶ περισσότερον. καὶ χοροῦ κορυφαῖος ἐσόμενος. δακτύλου τε περιαγωγαῖς ἐπισημαινόμενος τὴν τέχνην, καὶ τῶν ἄλλων μελῶν στροφαῖς καὶ λυγίσμασι. πρότερος οὖν αὐτός μοι τοῦτο βασάνισον, κἂν γνωριεῖ σοι τὸν τεχνίτην, καὶ κριθῇ δόκιμος, μηδ' οὕτω τὴν ὁδὸν θαῤῥησάτω τὴν πρὸς τὴν Ἀχερουσίαν τὴν λίμνην, τὴν ἐμὴν Λύχνιδον. εἰ μὴ πρότερον συνθοῖτο τῷ ἀδελφῷ μου Δημητρίῳ περὶ τοῦ τῶν ᾀσμάτων μισθοῦ. ὁ δὲ, ἔσται μελίνης ἢ μελαμπύρου ἐμπορικὸν ἡμιμέδιμνον. τοσοῦτον γὰρ ὅ τε ᾀσόμενος ὅ τε ἀκουσόμενος. ὁ μὲν, λαβεῖν ἄξιος. ὁ δὲ, δοῦναι εὔπορος. ὁρᾷς παρ' ὅσον ἦλθον ὑπερ ἀδείας γεροντικῆς καὶ σεμνότητος, ἵνα χαρίσωμαί σοι.

καὶ

καὶ τῷ γλυκεῖ Θεοδώρῳ συνεντρυφήσωμεν, ἐπεὶ καὶ ἀμφότεροι ψυχαγωγησόντων δεόμεθα. ἐγὼ μὲν διὰ πάντα ταῦτα κακά. σὺ δὲ, διὰ τὴν δυσχεραινομένην σοι ἀποδημίαν. ταύτην δὴ τὴν ὡς ἔφης μακράν. πρὸς ἣν μηδὲ πάνυ σφόδρα δυσφόρως ἔχε, εἰδώς, εἴπερ τις ἄλλος, γινομένην κοινωφελῶς, καὶ δεικνῦσαν τὸ τοῦ βασιλέως ἡμῶν κηδεμονικὸν καὶ φερέπονον. ὃς ἵνα τοὺς ἐχθροὺς ἐγγύθεν δεδίττηται, πόλεως μὲν ἐκείνης καὶ βασιλείων ἐκείνων καὶ τῶν ἄλλων ἐκείνῃ ἀπολαυσμάτων ὀλιγωρεῖ, ἀγρωτικῶν κακῶν ἀνεχόμενος. ἔκκειται μὲν ψύχεσί τε καὶ θάλπεσιν, ὕπαιθρος δὲ φέρει τὰς ἐναντίας ὥρας σὺν τοῖς φιλτάτοις. καὶ ἅμα τὰς χώρας, αἷς ἂν ἐπιστατῇ, καθιστᾷ μεγαλοπρεπῶς καὶ βασιλικῶς, τῶν τε ἄλλων ἁρμοστής, καὶ τῶν ἐκκλησιαστικῶν διαφερόντως γινόμενος. ταῦτα καὶ ἄλλα μυρία τῆς μακρᾶς ἀποδημίας ὑμῶν καὶ ἀγροὶ καὶ πόλεις ὀνίνανται, ὥστ' εἰ μὴ φιλαίτης εἴης, ἀλλὰ φιλάνθρωπος καὶ φιλάδελφος. οὐ μόνον οὐ δυσχερεῖς πρὸς τὴν ἀποδημίαν οὐκέτι, ἀλλὰ καὶ μᾶλλον ἐπεκταθῆναι ταύτην ἐπεύξῃ, ἵνα πλείους καὶ πλείω εὐεργετώμεθα.

Τῷ προέδρῳ, τῷ Παντέχνῃ.
Ἐπισ. οβ΄.

ΤΟν κολοφῶνα ἐπέθηκας, ὑπέρλαμπρέ μοι ἐν κυρίῳ υἱέ, ταῖς περιεχούσαις με θλίψεσι. καὶ αὐτὸς εἰπὼν συνέχεσθαι θλίψεσιν. ὃ γοῦν ἐμαυτῷ φάρμακον διὰ τῶν τοῦ λόγου βοτανῶν ἤρτυσα, τοῦτο καὶ σοὶ χρήσιμον εἰδὼς στέλλω καιροῦ δραξάμενος. ὡς νῦν γε ὑπὸ φωτὶ τουτί σοι τὸ γραμμάτιον συντάξας, οὐκ εἶχον ὅπως ἐκ τοῦ πυξίδος τὸ φάρμακον ἀναλήψομαι. οὐχ οὕτως ἀνει-

μένης ἁπλῶς, οὐδὲ πᾶσιν ἐκκειμένης, ἀλλὰ περιεργοτέρας χειρὸς δεομένης πρὸς τὸ ἀνοίγεσθαι. πλὴν ὅσον τοῦτο μόνον νῦν ἔχω σοι συντελεῖν. ὡς μετὰ τὸν χειμῶνα πάντως ἔαρ, καὶ ἔσται τοῦ ἔαρος. ὁ δέ γε τοῦ ἡλίου παῖς Φοῖνιξ καὶ πεφρωθεὶς ἐξανίσταται, ἵνα μηδὲν εἴπω θειότερον καὶ ἡμέτερον.

Τῷ ἰατρῷ τοῦ βασιλέως, κυρίῳ Μιχαὴλ τῷ Παντέχνῃ. Ἐπιστ. ογ΄.

ὙΜεῖς δὲ ἀεὶ μὲν ἡμᾶς ταῖς ἐλπίσι σαίνετε, ὡς ἥξοντες καὶ ἐπισκεψόμενοι, ἀεὶ δὲ ἐξαπατήσετε. οὕτως ἡμᾶς περιφρονεῖτε τοὺς χαμαὶ ἐρχομένους οἱ ἀεροβατοῦντες ὑμεῖς. ἀλλὰ γὰρ ὀψέ ποτε ἐχέκολλον ἀπορρίψαντες, ᾧ πρὸς τὰ αὐτόθι ἔχεσθε, παράκλησις ἡμῖν γένεσθε. τὰ δὲ φόβητρα, ἃ ἡμῖν ἐπανατείνεσθε, μορμολύκια παίδων εἰσίν, ἤγουν πτωχῶν τινῶν ἐπισκόπων· ὁ δὲ πάσης Βουλγαρίας ἀρχιεπίσκοπος, ὃν ἔσοπτρον ὁρῶσί τε καὶ ἀκούουσιν, οἴονται μεδίμνοις ἐκμετρεῖσθαι τοὺς χρυσίνους ἑκάστης ἡμέρας, τὴν ὑμετέραν παρουσίαν ὡς πτωχοῦ λινος οἰήσεται. ὃς περίεισιν αἰτίζων ἀκόλους οὐκ ἄορας. οὐδὲ λέβητας. κἂν μικρόν τι λάβῃ, τῷ ληφθέντι ἀρκούμενος. μόνον ἐλθέ, καὶ οἱ πάροικοι μένοι, οἱ παρὰ τοῦ Βλαχερνίτου ἀποκρυβέντες, πλουτίσουσί σε, ἀνὰ ἓν σκόροδον διδόντες. τηροῖο ὑπὸ κυρίου πάσης κακίας ἀνώτερος.

Τῷ αὐτῷ. Ἐπιστ. οδ΄.

ΧΑίρω μὴ δεχόμενος ἐκ σοῦ γράμματα. τεκμαίρομαι γάρ σοι περιπεῖναι πράγματα, εἴς τι καὶ κερδαλέον ὑπιέναι. εἰ μὲν οὖν τυγχάνω τοῦ σκοποῦ, καὶ οὐ παρατοξεύω,


τοξεύω,


τοξεύω, ἔχω τοσαύτην ἐκ τῶν σῶν ἐν τοῖς ἐμοῖς λυπηροῖς παράκλησιν. εἰ δὲ καὶ τὸ σὸν δυστυχῶ, δίπαλτος ἡμῖν ὁ πονηρὸς ἐπέστη. ὁ μέντοι ἀγαθὸς θεὸς καὶ κραταιὸς ἀντιστήσεται. ὑφ᾽ οὗ καὶ αὐτὸς ἀνώτερος τῆς ἐκείνου κακομηχανίας φυλάττοιο.

Τῷ αὐτῷ. Ἐπισ. οέ.

Διψῶντί μοι μαθεῖν τὰ κατά σε λευκότερον, ἵνα ἐλλαμπέ μοι ἐν κυρίῳ φῶς· αὐτὸς σταγόνας ἐπιπέμπεις θολώδεις, ἐξ ὧν οὐκ ἰῶμαι τὴν δίψαν. γράψον οὖν μοι διειδηλότερον ἐνίοις τί ἐστι, καὶ εἰ ἐν ἀξίοις τῶν ἐλπίδων αἷς ἐτρεφόμεθα.

ΤΕΛΟΣ.





IOANNIS MEVRSI

AD

THEOPHYLACTI

Epiſtolas

NOTÆ.

EPIST. I.



PAG. 3. lin. vltimâ. καὶ φθεγγόμενον.] Malim. καὶ σφιγγόμενον.

Pag. 4. lin. 4. Λυτοῦργος.] Scribe, Λυκοῦργος. In oculis habuit locum illum Homeri Iliad. ζ.

Οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος
Δὴν ἦν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζεν.

Lin. 23. παρακαῶντος γινόμενος.] Malim. παρακθῶντες γ.

EPIST. III.

Pag. 7. lin. 4. καὶ μὴ λαβών.] Scribe, καὶ δὴ λ.

EPIST. IV.

Pag. 8. lin. 2. κακυρωμένος.] Scrib. κεκαρωμένος.

EPIST.

EPIST. V.

Pag.9.lin.8. τὸ ἐθὺς κατηρτυσμένον.] Scrib. τὸ γοῦν ἐπὺς κ.
Lin.25. οὐκ οἶ.] Scrib. οὐκ οἶδα.
Pag.10.lin.5. παρ' ἑαυτῷ.] Scrib. π. ἐμαυτῷ.
Lin.6. ἔγραφον.] Scrib. ἔγγραφον.

EPIST. VI.

Pag.11.lin.10. ἐπιδή σοι θεὸς τῷ παρὰ βασιλεῖ.] Scrib. ἐπειδή σοι θεὸς τὸ π. β.

EPIST. VII.

Pag.13.lin.2. πανόπης.] Scrib. πανόπλης.
Lin.28. ἐπεὶ καί σε θεραπεύῃ μέν τις καὶ τῶν κωνησῶν κηδόμενον.] Restituendum censeo, ἐπεὶ καί σε θεραπεύῃ μέν τις τῶν κακώσεων κηδόμενον.

EPIST. VIII.

Pag.14.lin.12. μὴ μέλε οὖν.] Scrib. μὴ μέλλε οὖν.

EPIST. X.

Pag.16.lin.29. καὶ ἡ ἱπαρεσία σου.] Scrib. ὦ ἡ ἱπ- πασία σου.

EPIST. XI.

Pag.17.lin.17. κατὰ τὸν λοιπόντων.] Scrib. κατὰ τῶν λυπούντων.
Pag.18.lin.5. λοιπόντων.] Iterum scrib. λυπούν- των.

EPIST.

EPIST. XII.

Lin.21. ἀπέβλαφα.] Scrib ἀπέβλεψα.

EPIST. XV.

Pag.24.lin.4. δοδεκάκρομεν.] Scrib. δωδεκάκρουνον.

EPIST. XVI.

Lin.penult. μέλλει.] Scrib. μέλει.

EPIST. XVII.

Pag.25.lin.15. ἡδέως ἔδεξαι μὴν σου τὴν ἐπιστολήν.] Rescribo. ἡδέως ἐδεξάμην σου τὴν ἐ.

Pag.26.lin.7. ὃν ἔχοντες.] Scrib. ὃν ἔχων τ' εἶ.

Lin.23. ἐν πίστει σέγω] Restituo. ἔμπης τι στέγω. Est hemistichium.

EPIST. XVIII.

Pag.28.lin.15. καὶ τὸ ἔπαλινα φθόγγον.] Scrib. καὶ τὸν ἔπαλυνα φ.

Lin.16. πέπραγε.] Scrib πέπραγα.

EPIST. XX.

Pag.29. lin.22. τὸ σὸν γράμμα φαιδρόν.] Legendum. τ. σ. γράμμα φανέν. Atque ita reposui.

Pag.30.lin.15. κεκαφυτὸ θυμῷ.] Rescrib. κεκαφηότι θ. Respexit versum Homeri Iliad. έ.

Ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν.

EPIST. XXI.

Pag.31.lin.7. ὑποκρύπτεται.] Scrib. προσκρίπτει τι.

EPIST.

EPIST. XXII.

Pag. 32. lin. 19. ἀνὴλπαρεσπίνων.] Scrib. ἀντιπαρεσπίνων.

Lin. 21. ἐξῆς ἡμῖν σοῦ τοιαῦτα πέμπατε.] Restituo. ἐξ ἧς ἡμῖν τὰ τοιαῦτα τε.

Pag. 33. lin. 10. ἐπάλως.] Restituo. ἐκπάγλως. Respexit illa Vlyssis de Achille apud Homerum. Iliad. ί.

> Μαίνεται ἐκπάγλως, πίσυνος Διΐ, οὐδέ τι τίει
> Ἀνέρας οὐδὲ θεούς. ———

EPIST. XXIII.

Pag. 36. lin. 19. θύμος.] Scrib. θυμός.

EPIST. XXIV.

Pag. 40. lin. 17. δεξίαι.] Scrib. δεξίαι.

EPIST. XXVI.

Pag. 44. lin. 2. ἐπικόρους.] Scrib. ἐπικούρους.

EPIST. XXVII.

Pag. 47. lin. 19. κεκεσέλληνος ἱερῷ τὸ τοῦ Καμικοῦ.] Restituo, & interpungo. βεκεσέληνος, ἐν ἱερῷ τὸ τ. Κ. Respexit versum Aristophanis Nubibus.

> Καὶ πῶς, ὦ μωρὲ σύ, καὶ Κρονίων ὄζων, καὶ βεκκεσέληνε.

Lin. ultimâ. οἱ δυνάμει.] Scrib. οἱ δυνάμενοι.

EPIST. XXVIII.

Pag. 49. lin. 6. καὶ ἀπολάβοι μέν σου.] Restituo. καὶ ἀπολαύοιμεν σου.

EPIST. XXX.

Pag.51.lin.8.ὀρώδει δ' οὐρανόθεν νύξ.] Scrib. ὀρώρει δ' οὐ. ν. Est locus apud Homerum Odyss. ε.

—ὀρώρει δ' οὐρανόθεν νύξ.
Σὺν δ' Εὖρός τε Νότος τ' ἔπεσε, Ζέφυρός τε δυσαής,
Καὶ Βορέης αἰθρηγενέτης. ———

Pag.54.lin.22. παρήμίαις.] Scrib. παρῳδίαις.

EPIST. XXXI.

Pag.56.lin.22.ἠκελλωθείη.] Scrib. εἰ κελλωθείη.

EPIST. XXXII.

Pag.58.lin.1. δέον.] Scrib. δόξει.
Lin.2 λήσουσι.] Scrib. λύσουσι.

EPIST. XXXIII.

Lin.vltimâ χαλεπὴ γὰρ ἐλύσσα δέδοκεν.] Restituo. χ. γὰρ ἑ λύσσα δέδυκεν. Respexit locum Homeri Iliad. ι.

— οὐδέ τι τίει
Ἀνέρας, οὐδὲ θεούς, κρατερὴ γὰρ ἑ λύσσα δέδυκεν.

Pag 59.lin.20.ὀχηρῶ σοι δοκῶ ἀδελφὸν θαυμάσιε.] Restituo. εἰ χρεὼ σοι δοκῇ, ἀδελφῶν θ.
Lin.24. ληστρόν.] Scrib. ληστικόν.

EPIST. XXXIV.

Pag.60.lin.16. καὶ κοιμῶνται οἱ καιροί.] Restituo. καὶ κοιμῶνται ἱκανοί.

EPIST.

EPIST. XXXVI.

Pag. 62. lin. 19. δυσξενέτως.] Scrib. δυσξυνέτως.

EPIST. XL.

Pag. 66. lin. 11. In inscriptione Epistolæ, τῷ Αμυρναίῳ.] Puto scribendnm, τῷ Σμυρναίῳ. Ac designari Episcopum Smyrnæ, cujus meminit iterum. Epist. LVII. Παρὰ τοῦ παγκάλου Σμυρναίου τῇ ἀγάπῃ σου συστάθησεται. Iterum Epist. LIX. Ὅς καὶ τοῦ φιλοσοφωτάτου καὶ πανδεξίου Σμυρναίου φησὶν εἶναι συγγενής.

Lin. 17. εἰ δ᾽ ἄλλις σοι τῶν τραγῳδιῶν.] Scrib. εἰ δ᾽ ἄλις σοι τ. τ.

EPIST. XLI.

Pag 68. lin. 23. εὗρον.] Scrib ὑδρεῖν.

Pag. 69. lin. 18. τὴν * * ὑσίας.] Censeo supplendum. τὴν δημόσιον οὐσίας. Quæ vox paulò post iterum excidit. Apparet ex serie Epistolæ. Sic etiam inquit, Epist. XLIII. Καὶ ταῦτα τὰ πάνδεινα παθεῖν ἀνεκλαύσατο, διὰ τὸ εὔνους εἶναι τῷ δημοσίῳ.

Pag. 70. lin. 10. τῷ * * *.] Puto etiam hîc supplendum. τῷ δημοσίῳ. Satis manifestum ex verbis statim sequentibus. Πρῶτον μὲν ἔτι οὐδὲ πρότερον παρ᾽ ἡμῶν ἐκερδαίνοντο. ἀλλ᾽ ἐν ζυγάριον ἕκαστος ἔχουσι ὄντες, τὰ ἐπίκεινα τούτων ἐπιπλεῖν τῷ δημοσίῳ.

Lin. 16. τοδ ἡμῶν.] Et hîc quoque scribendum existimo. τῷ δημοσίου.

Lin. 23. ἐξουσία.] Restituo. ἐξκουσίας. Vide de hâc voce Glossarium nostrum Græcobarbarum. Sic statim infra. Τῆς ἐκκλησίας τῶν ζώων ἐξκουσίαν ἀδρῶν τι καὶ λεπτῶν λαβούσης.

Pag. 71. lin. 19. χθύας.] Scrib. ἰχθύας.

Lin. 26. παῤῥημίας.] Scrib. παροιμίας.

Lin. 27. ἀπολυθῆναι. Scrib. ἀποδοθῆναι.

Lin. 28. ἄχρειστον.] Scrib. ἄχρηστον.

EPIST. XLIII.

Pag. 75. lin. 4. ἀνέθαλεν ἡ σάξμου. Restituo. ἀνέθαλεν ἡ σάρξ μου.

Lin. 5. χαρτώσασι.] Scrib. χαριτώσαντι.

Lin. 13. καπνισμοῦ] Scrib. καταπνισμοῦ.

Lin. 15. καπξύσαν.] Scrib. καπνίξουσαν.

Pag. 77. lin. 10. καθητής.] Scrib. καθηγητής.

Lin. 22. πρὸ ἄκτων ἐξουσίαν τοῦτον παπίου.] Locus mutilus. Restituendum puto. π. ἐξουσίαν ἔχων τοῦτον τ.

EPIST. XLIV.

Pag. 79. lin. 16. πρόσαπλα δὲ θεῖναι.] Scrib. πρῶτα δεῖ θ.

EPIST. XLV.

Pag. 8. lin. vlt. ἄφθι νύθην,] Scrib. ἂν φθινύθην.

EPIST. XLVIII.

Pag. 83. lin. 14. πάντως ἄλλου βάρους.] Malim. παντὸς ἄλλου β.

EPIST.

L I.

Pag. 85. lin. 21. *βληπλέντων σοι τὸ μέλι.*] Scrib. *κλεπλέντων σοι τ. μ.*

Lin. antepenultimâ. *καθημιδρύαι.*] Scrib. *καθημέρα.*

EPIST. LII.

Pag. 86. lin. 11. *τῆς γῆς χρηστότητος.* Scrib. *τῆς σῆς χ.*

EPIST. LIV.

Pag. 87. lin. 21. *καὶ Ὀνάφθας μετακομίζεται.*] Scrib. *καὶ ὁ Νάφθας μ.*

EPIST. LV.

Pag. 88. lin. 18. *ὀνομάζει Βαρδκάριον.* Scrib.] *ὁ. Βαρδάριον.* Idque jam nuper monui in Glossario meo Græcobarbaro, in *Βαρδαριῶται.*

Pag. 89. lin. 16. *μακάρια καὶ οὐ δαίμονα.*] Rescribo. *μ. καὶ εὐδαίμονα.*

EPIST. LVI.

Pag. 89. lin. 25. *χωρὶ ἢ αὗται.*] Scrib. *χώραι δὲ αὗται.*

EPIST. LVII.

Pag. 90. lin. penult. *γαλλαίων βιβλίων.*] Scrib. *Γαλλωνείων β.*

EPIST. LVIII.

Pag. 92. lin. 17. *μέλε.*] Scrib. *μέλλε.*

EPIST. LXV.

Pag.97. lin.2. ἄνεσος.] Scrib. ἄνοσος.

EPIST. LXVI.

Pag 99. lin.5. ἐν ἀραθυμίᾳ καὶ ἀλυπίᾳ.] Scrib. ἐν ῥαθυμίᾳ καὶ ἀ.

Lin 7. ἡμιέτατι.] Scrib. ἡμιότητος.

EPIST. LXVIII.

Pag 101. lin. 1. ἀμβροσίτας.] Scrib. ἀμβροσίας.

EPIST. LXXI.

Pag. 102. lin. 16. ἔτι νῷ λητάς.] Scrib. ἔτι νῷ ληπτάς.

Pag. 103. lin. 23. περιαρθρήσας.] Scrib. περιαθρήσας.

Pag. 105. lin. 16. κλημακτῆρα.] Scrib. κλιμακτῆρα.

Lin. 29. σιωόδοντας.] Scrib. κιωνόδοντας.

Pag. 106. lin. 27. μελίγης.] Scrib. μελίνης.

EPIST. LXXV.

Pag. 109. lin. 10. ἐνίοις τι.] Scrib. ἐν εἷς τι.

FINIS.

ERRATVM.

Pag. 93. lin. 3. δεπανξίου. Lege, πανδεξίου. Si quæ alia levicula occurrent, benigne Lector, ea tu pro æquitate tuâ emendato.

